Τῆμος καὶ κεφαλὴ κυνοσούριδος ἀκρόθι νυκτὸς
Ὑψι μάλα βοχάᾳ. ὁὴ, δύεται ἠῶθι πρὸ
Ἀθρόος ὠκείων, κηφὺς δ' ἀπὸ χθονὸς ἐς ἰξύν.
Εἰσὶ δέ τις προτέρω βεβλημένος ἄλλος ὀϊστὸς
Αὐτὸς ἀτερ τόξου. ὁ δέ οἱ πρόσω πέτεται ὄρνις
Ἀκοντέρον βορέω.

Καὶ δ' ἂν ἐπὶ προτέρῳ) Κατὰ κοινοῦ, τῷ μηνί. προτέρῳ δὲ μηνὶ ἢ ἀηχείρωτος ὁ χειμὼν, ὃς ἐστι δεκέμβριος, ὅτε ἐν τῷ τοξότῃ ὁ ἥλιος. ὁ δὲ νῦς,, κ' ἐν τῷ προτέρῳ μηνὶ τοῦ τυβὶ, ἤγουν τῷ ἰανουαρίῳ· λέγει δὲ ἀβρὸν τὸν δεκέμβριον μῆνα· ἔτος γάρ ἐστιν ὁ προ ἢ ἰανουαρίου· πολλὰ παθὼν κατὰ θάλασσαν, ὡσὸς τὸν ἑσπέριον ὁρμίζει· μακραὶ γάρ εἰσι τότε αἱ νύκτες, ἐ σὺν ἔστιν εὐχερὲς τὸ ἀβπραυεῖν. Σῆμα) Ἐπειδὴ ἐν τῷ τοξότῃ ὢν ὁ ἥλιος, σὺν ἐᾷ αὐτὸν φαίνεσθαι, ἐξ ἄλλων τεκμηρίων ἢ μηνός, σοὶ δίδωσι καταλῆψιν. ὁ δὲ νῦς, τεκμήριόν σοι ἔσται τοῦ καιροῦ κ'

ϲ τῷ μὲν δὺς ἐκεῖνος, ὁ σκορπίος ἀνατέλλων ἐπὶ τῆς ἑῴας νυκτός, ἤγουν ἐπὶ ὁρίζοντος· τοῦ δὲ ἥλιος ἐνδεκάτῳ καὶ δωδεκάτῳ ὥραν ὁ σκορπίος ἀνατέλλει· αὐτὸς γὰρ ὁ τοξότης ὑπὸ τὸν ἥλιον ἐστὶ κατέχεται. ὁ γὰρ σκορπίος μικρὸν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρεῖται, ἐπὶ τῆς ἀναβολῆς τοῦ ὁρίζοντος· τότε γὰρ συμβαίνει ϲ κέντρον τοῦ σκορπίου ἀνατέλλον θεωρεῖσθαι, ϲ τῶν τοῦ τοξότου κεφαλίδα σωμάτων τὸ κέντρον· μικρὸν δὲ ὕστερον ἀνατέλλει καὶ τοξότου βέλος κατεσκελές· δίχα τόξου πλησίον δὲ αὐτοῦ θεωρεῖται ὄρνις βορειοτέραν ἔχων τὴν θέσιν. Ωρίων) Ἐπειδὴ συμβαίνει τὴν μηνοειδῆ χειμῶνος ὄντος, συσκάσης νεφελώδης γίνεσθαι, καὶ τὸ σκορπίον μὴ εἶναι ἐμφανῆ, πιεζόμενα ϲ ἐξ ἄλλων φανερῶν ποιῆσαι τὴν ζόην τοῦ τοξότου κατέληψιν, καὶ φησὶν ὅτι ὁ ὠρίων τοιοῦτός ἐστιν ἀστρονόμος πᾶς κατανοήσει τὸ τῆς ἡμέρας. ὀλίγον γὰρ πρὸ τῆς ἡμέρας δύεται, δωδεκάτῃ ὥραν τῆς νυκτός. ἔστι δὲ ὠρίων λαμπρὸς ἀστὴρ νότιος ϲ ὁ κηφεύς, φησὶν, ἀπὸ χειρὸς ἐπ' ἰξυῖ· τὰ γὰρ λοιπὰ μέρη αὐτοῦ, ἀδηλα· πολέων δὲ ἐξεπίτηδες ϲ σημεῖα τοῦ χρόνου τίθεται, ὥστε κἂν εἷς μὴ πάντα τις δυνάμενος, ἀλλ' οὖν ἕνα ἐξ αὐτῶν πιστεύσας σώζεσθαι. Τῆμος δὲ) Ἡγουν ὅτε καὶ ἡ κεφαλὴ τοῦ κυνοσούρου εἰς ὕψος ἀνατέλλει· ἡ γὰρ κεφαλὴ τοῦ κυνοσούρου ἐπὶ τοῦ ἰξυοῦ τῆς μεγάλης ἄρκτου ἀνατέλλει· τὰ δὲ αὐτοῦ ἀνατέλλει μόνα, ὡς τὸ, Τυδείδης δ' αὐτὸς ὡξ ἐὼν ἐθρῴσκοισιν ἐμίχθη.

-χεδόθεν δὲ οἱ ἄλλος ἀήτης,
Οὐ τόσσος μεγάλῳ χαλεπὸς χέμῳ ἐξ ἀλὸς ἐλθεῖν,
Νυκτὸς ἀταρχομένης· καὶμιν καλέουσιν ἀήτην.

Σχεδόθεν) Παρέκειται δὲ αὐτῷ ὄρνις ἕτερος ὑπὸ τὸν σύνεγγυς τῷ μεγάθει λειπόμενος· ἐκεῖνος χειμερινώτατος δὲ γινόμενος κατὰ τὴν ἑῴαν αὐτοῦ ἀνατολήν· καλεῖται δὲ ἀήτης. θεσπεσίως δὲ θεῖ τὸ τοξότου, φησὶν, ἔστι δὲ καὶ ἕτερος οἷος θεῖ τῶν ὑπὸ τὸ τοξότου θεσσαλικῶν κτηνοτρόφων. τὸ θεῖ τὸ θεσπεσίως δὲ οἷος τὸ αἴτιος, οὐκ ἀπὸ τινος διδάσκει θεσπιγνωσμένος, καὶ παρὰ τοῦδε μόνος τῶν σωκράτην παρελείπας. Χαλεπὸς χέμῳ) Τὴν ἑῴαν δὲ ἀνατολὴν ποιεῖσθαι ὁ ἀήτης, μέγαν χειμῶνα σημαίνει, ϲ ἡλίου ὄντος τότε θεῖ τὰ μέσα τοῦ τοξότου, ὅτε λοιπὸν ἀνατέλλοντος ἡλίου σὺν τῷ τοξότῃ, καὶ αὐτὸς ἀνατέλλει σὺν αὐτοῖς. ὁ δὲ λόγος, χαλεπὸς ὕπνος καὶ θηνὸς ἀναπείλας, πτελέοσης νυκτός· ἕως γὰρ ἀνατέλλει σὺν τῷ τοξότῃ ἐν τῷ χαίτῃ μηνὶ, ἤγουν τῷ δεκεμβρίῳ, χειμῶνός ἐστι σημεῖον· διὸ εἶπε, τοῖς πλέουσι χαλεπὸς, ἀφ' οὗ τότε κρύον. ὃν καλοῦσιν ἀήτην ἐντυμολογοῦντες, παρὰ τὰς ἀήτας, ϲ τὰ χειμερινὰ πνεύματα, ὧ δηλονότι χειμερινὸς ἀναπείλας.

Δελφὶς δ' ὑ μάλα πολλὸς ὑπὶ στέχῃ ἀγκερῶνι,
Μεσσόθεν ἡερέθων· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
Γλωσσέα, πλατύνουσι δύο, παρὰ δύο πτερύγεσσι.
Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται· τὰ δὲ νοτίδι πέλεται ἄλλα
Πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου. 320

Δελφὶς δ' οὐ μάλα πολλὸς) Πάλιν τὸν δελφῖνα, ἀπὸ τῆς ἐγνωσμένης διδάσκει. ἀγκερώτου δὲ γάρ σφόδρα, φησὶν, ἐκλαμπρύνεσθαι. ἐπιφέρει οὖν, μεσόθεν ἡερέθειν, ὅτι τὸ μέσον αὐτῆς σφόδρα σκοτεινόν ἐστιν. ἐπικαταφέρεται οὖν τῷ ἀγκερώνι ὁ δελφὶς, συνάπτων τὰ πολλὰ, τέσσαρας ἔχων αἰσέρας ἐπισήμους ὧν τῷ παραλλήλῳ κειμένους. φησὶν οὖν, τὰ δέ οἱ περὶ τέσσαρα κεῖται γλωσσέα. ἔοικε δὲ ῥομβοειδὲς ἔχειν τὸ σχῆμα. ποιητικῶς δὲ εἶπε τοὺς αἰσέρας γλωσσέα· γλῶσσα γάρ ἐστιν, ἡ ὧν τῷ ὀφθαλμῷ κόρη. κατηστερίσθαι δὲ εἰς τιμὴν τοῦ Ποσειδῶνος· ἐρασθέντος γὰρ αὐτῆς τῆς Ἀμφιτρίτης, συνήργησε τῷ γάμῳ. Ἑρμιππος δέ φησιν, ὅτι ἐπὶ Ἀπόλλωνος τιμῇ ἠγήσατο Κρησὶν εἰς Δελφούς· ἔνιοι δέ, τὴν κομήτην τὸν Αρίονα τὸν κιθαρῳδὸν εἰς γῆν. μέχρι δὲ τούτου τὰ περὶ τὸν βορέαν αἰσέρων· μέτεισι δὲ συνεχῶς ἐπὶ τὰ νότια. Καὶ τὰ μὲν οὖν) Επλήρωσε πάντα τὰ ἐν τῷ βορείῳ μέχρι τοῦ ζωδιακοῦ κύκλου, καὶ αὖτα τὰ δώδεκα ζῴδια, καθά φησι, ταῦτα πάντα τὰ περιεχόμενα μεταξύ ἐστι τοῦ βορείου τῆς τοῦ ἡλίου πορείας· ἵνα λέγῃ μέσον βορείου καὶ τοῦ ζωδιακοῦ κύκλου. ἀλήσιον δὲ, ὅτι ὁ ἥλιος εἰς τὰ πλανήτων ἐστί· τὰ μὴ τροπικὰ φαινόμενα, ἀπλανῆ. Ηελίοιο κελεύθου) Ηλίου κέλευθός ἐστιν, ἡ διὰ μέσου τοῦ ἐκ. ζωδίων τοῦ ἐναντίας τῇ παντὶ κινήσεως. ἄλλως δὲ αὐτῶν εἶπεν, οὐκ ἀπφκήτως· ἀνώμαλος γάρ ἐστι καὶ βραδεῖα. ἀγέμμος δὲ ὁ ἥλιος ὑπὸ τοῦ ἐρανοῦ περιφορᾶς, εἰς τὐπίσω κατὰ μικρὸν ὑπονοσεῖ, καὶ ταύτῃ αὐτοῦ ἰδίαν κίνησιν λέγουσιν ἄνισον, ὧν ἰσημερείας καὶ ἀφελήματος χρόνῳ θεωρεῖται. Νοτίδι πέλεται) Τὰ νότια ὧν κάτω κεῖνται, ὡς περὶ τὸ κλίμα τοῦ κόσμου, ὡσαῦτ ἄνω τὰ βόρεια, ἀφ' οὗ ἐξάρτημα. ὁ δὲ νότος, τὰ δὲ ἄλλα ἄστρα κάτω τέλεται, καὶ ἔστι μεταξὺ τοῦ τε νότου καὶ τοῦ ζωδιακοῦ κύκλου, ἃ ἄλλα ὧν ἄλλοις ὅποις κέχυται. τὰ δὲ, ὑπὸ ταῦτα λέγει) φέρεσθαι μεταξὺ νότου καὶ τῆς τοῦ ἡλίου κελεύθου.

Λοξὸς μὲν γαῦρος τομὴν ὑποκέκλιται αὐτὸς
Ὠρείων· μὴ κεῖνον ὅλως καθαρὴν ὑπὸ νυκτὶ "ἐνὶ
Υψοῦ πεπτηῶτα πτέρυγεσσι, ἀλλὰ πεποίθοι,
Οὐρανοῦ

Οὐρανὸν εἰσωμιδῶν προφερέστερα ἠπόλλων.

λοξὸς μὲν) Περὶ τὸ ἀρίστερον νῶτον λέγει· πάντα γὰρ τὰ ἐν τῷ βορείῳ καὶ τὰ ἐξ ἐκείνων διδάξας ιϐ'. ζώδια, ἔρχεται ἐπὶ τὰ νότια· καὶ πάντων τῶν ἐν αὐτῷ διδασκαλίαν ποιούμενος, ἀπὸ τοῦ ἐπισημοτάτου καὶ λαμπροτάτου ὑπὲρ πάντα τὰ νότια ἤρξατο, ὅ, περ καὶ τῆς Ομηρικῆς χρήσεως ἔτυχεν· ἐν βραχεῖ γὰρ ὁ ποιητὴς λέγει δύο ζωδίων ἐπισήμων, καὶ τὰ νότια καὶ τὰ βόρεια ἐδήλωσε, καὶ ὅτι ὡσπερ δύθεσίς ἐστιν ἀπὸ τῆς ὄψεως τὰ ἄρκτια μέρη τοῦ ἀρίστερου, ἀστρονομικῶς εἶπεν, Ητ' αὐτοῦ τρέφεται καὶ ῥ' ἀρίστερα δοκεύει. εἰκότως οὖν ἐν τοῖς βορείοις ἐκείνης πρῶτον μνήμην ποιησάμενος, νῦν ἐν τοῖς νοτίοις ἐξ ἀντικρυμμένης μνημονεύει, ἐπεὶ τὴν ἀφ' ἑαυτῶν πόλον πρεσφέρειαν τέμνων φησίν. ἐν ἀμφοτέροις δὲ κείμενος τοῖς ἡμισφαιρίοις, ἐπέχει μοιρῶν κατὰ μῆκος ιζ'. κατὰ δὲ πλάτος λ'. μείμφοιτο δ' ἄν τις Ἀράτῳ, ὡς μὴ ἀκριβῶς πεποιήκοτι τὴν ἀρίστερον θέσιν· ἡ γὰρ ὑπὸ τὸ διηνεκὲς μῆκος τοῦ παύρου ἐστίν, ἀλλ' ἔτι τοῦ παύρου ἀναγκαιότερός ἐστιν. ἆρ' οὖν ἐν πᾶσι τοῦ ἀκριβείαν συνήθροισμος, κατὰ τοῦτο μόνον ἐσφάλη; εὐδαιμῶς. ἀλλὰ λέγομεν ὅτι νῦν ἡμεῖς λέγομεν, τὸν πρεσφαφῶν καὶ τὸ ἀφιμεμετρημένον χορὸν, ὑφ' ὃ τιμᾶται ἐστὶν ὁ ἀρίστερος· ὁ γὰρ πᾶς ζωδιακὸς κύκλος δώδεκα τιμαῖς διαιρεῖται), αἷς διείργεται ἑκάστου ἕκαστον ζῴδιον· τομὴν οὖν λέγει, τὸ ἀφορίζον ἕκαστον μέρος τῶν ζῳδίων· ὑπὸ τοιοῦτον γὰρ τιμᾶται ἐστὶν ὁ Ωρίων. τοῦτον δὲ Ησίοδός φησι, Βρύαξης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι· δῶρεαν δὲ ἔχειν τὸ ξίφος τὸ παρὰ τοῦ ἐπὶ τῶν κυμάτων πορεύεσθαι. ἐλθὼν δὲ ἐς Χίον, Μέροπι τῷ Οἰνοπίωνος βιάσασθαι οἰνωφέντα· τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα, ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλιτεύοντα τῷ Ηφαίστῳ συμμίξαι, ὃς αὐτὸν ἐλεήσας, δίδωσιν αὐτῷ παιδηγέτην Κυδαλίωνα· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε, τὰς ὁδοὺς αὐτῷ σημαίνοντα. ἐλθὼν δὲ εἰς Ἀναβλάς, ἐν ἡλίῳ συμμίξας, ὑμάθη· ἐν ἔτει ἐπὶ τ' Οἰνοπίωνα ἦλθε, τιμωρήσασθαι μέλλων. ὁ δὲ μαθὼν, ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν ὀρύειν, εἰς Κρήτην ἦλθε, ἐν τῇ Ἀρτέμιδι σύνηθες ἦν. ἐπιχρήσας οὖν ἐν ταύτῃ βιάσασθαι, ὑπὸ σκορπίου ἀπολλεῖς, ἐτελεύτησεν. Οὐρανὸν εἰσωμιδῶν) Ο ἀναβλέψας, φησὶν, ἐν κεφαλῇ, ἐν πανσελήνῳ νυκτὶ εἰς τ' ἐρανὸν, οὐκ ἄν ὄροι ἄλλο λαμπρότερον Ωρίωνος ἄστρον. ἢ τοῦτο εἶπεν, ἐπειδὴ μεσουρανοῦντος Ωρίωνος, τὰ λαμπρότατα τῶν ἄστρων ὑπὲρ γῆν ὁρᾶται, ταῦρος, ἡνίοχος, δίδυμοι, κανικέφεια· ἐν ᾗ ὑψοῦ πεπλῆνται, μεσουρανοῦντα σημαίνει. τὸ δὲ παρέρχεται τοιοῦτόν ἐστιν, ὁσίως αὐτὸν παρέρχεται), μὴ νομίσῃ ἄλλα αὐτοῦ κρεῖττον θεάσασθαι. τὸ δὲ ὑποκέκλιται, ἀντὶ τοῦ, οὐκ ἐξωρθωμένος ἐστὶν, ἀλλὰ χῆμα ἔχων κυνηγετικὸν, καὶ ὡσπερ ἐπιτηδεύων κυνηγετεῖν· ὡς συντέχνη τῇ ἰσοπλατεῖ καὶ τ' ἀστερισμόν. ἔχει γὰρ τὴν δεξιὰν ὡσπερ ῥόπαλον φέρουσαν, καὶ ἐπιβλέπει, ἀφ' οὗ νόμιμος ἀστερὴν συνήθροισμος.

Τοῖος

Τοῖος ϗ φερτερὸς ἀφεσμένῳ ἐστὶ νώτῳ
Φαίνε) ἀμφοτέρωσιν κύων ἐπὶ ποσσὶ βεβηκώς,
Ποικίλος, ἀλλ' ὑπόλα πεφασμένος, ἄλλα κατ'
Γαστέρα κυάνεος φαείνε). ἡ δέοι ἄκρη (αὐτίκα
Ἀστέρι βεβλη) ἀφνὴ γένυς, ὅς ῥα μάλιστα
Ὀξέα σφειαίῳ κεφαλὴν καλέεσκον ἄνθρωποι
Σείριον· οὐκ ἐπὶ κεῖνον ἅμα ἠελίῳ ἀνιόντι,
Φυταλιὴ ψυδρὸν), ἀναλδέα φυλλιόωσαν·
Ῥα γὰρ οἳ ἔκρινε Διὸς σήμασιν ὀξὺς ἀίξας.
Καί μιν, ἔρρωσεν· τῷ δὲ, φλόον ὤλεσε πάντα.
Κείνου ϗ καπόντος ἀκουόμην· οἱ δέοι ἄλλοι
Σῆμ' ἔμεναι μελέεσιν ἐλαφρότεροι φαείνειν.

Φαίνεται) Κάτω τῆ ὠρίωνος· νοτιώτερός ἐστιν ὁ κύων, ὁ σείριος καλούμενος, ὃν Ὠρίωνος κύνα λέγουσι κατ' ἐπίκλησιν, ὡς φησιν Ὅμηρος, Οἵ τε κυν' Ὠρίωνος ἐπίκλησιν καλέουσι. τὸ δὲ φρασὶ, ὅτι κυνηγῷ ὄντι Ὠρίωνι, συνηκολούθει ὁ κύων, ϗ ἦν αὐτῷ φύλαξ. τὸ δὲ, ποσὶν ἀμφοτέρωσιν, ἤτοι τοῖς ὀπισθίοις· ἐπ' αὐτῶν γὰρ βεβηκώς ἐστιν· ἢ ἀμφοτέρωσι τοῖς ἐμπροσθίοις, ὃ ϗ μᾶλλον· τὰ γὰρ σφυρὰ αὐτῷ ἴσα ποδῶν ϗ ὀπισθίων, ἐφ' ὧν βέβηκεν, ἀφανῆ ἡμῖν, ϗ ὑπάνυ δυσύνοπτά ἐστι. Διὰ τοῦτο ἀμφοτέρωσι λέγει, ἴσως ἐμπροσθίοις, ϗ δίδωσι σαφέστερον μᾶλλον τὴν κατάληψιν. νοείσθω δίνιον τὸ βεβηκὼς, οἷον ὁρμῶν ϗ ἀνατείνων ἴσως ἐμπροσθίοις ποσί· μὴ γὰρ τῆς κεφαλῆς, οἱ πόδες ἀνατείνουσιν οἱ ἐμπροσθιοι· οἱ δὲ ἄλλοι τὸ λοιπὸν αὐτῷ ἐκπεπληρωκότες σῶμα ἀστέρες, ἐλαφροὶ ϗ ἀνεπαχθεῖς εἰσιν ἡμῖν. Ποικίλος, ἀλλ' ὑπόλα πεφασμένος) Τὸ ποικίλος, σημαίνειν, ὅτι ποικιλίαν ἀστέρων ἐσὶν ἰδεῖν· ἔχει γὰρ ϗ ἀμυδροὺς ϗ λαμπροὺς ἀστέρας ἀναμεμιγμένους· οὕτω γὰρ ποικιλία λέγεται· τὸ δὲ παραπλήσιους, ἐπορισμὸν, ὅτι ὑ δεῖ εἶναι μήτε λαμπροὺς, οὔτε τὸ ἀναπαλιν, ἀλλὰ δεῖ κρᾶσιν εἶναί τινα. ἔστιν οὖν ὁ κύων πεποικιλμένος· ἐξ ὧν ϗ αὐτὸς ἐπιφέρει, ἀλλ' ὑ πάντα πεφασμένος· ὑ γὰρ ὅλη μόνων συγκεκιμένη λαμπρῶν ἀστέρων, ἀλλ' ἔχων ϗ τινὰς ἀμυδροὺς· εἰκότως ἂν ποικίλος ἐσίν· ἢ ποικίλος, διὰ τὸ ἐπ' ἄκρας αὐτῆ τῆς ῥινὸς ἀστέρας, ὃς ἰδίᾳ σείριος καλεῖται, παρ' ὅσον στίλβει αὐτῆ τὸ φῶς, καὶ ἔστι πορφυρίζον ὑπὸ τῆ παλμοῦ τῆς λαμπηδόνος. κατὰ τοῦτο οὖν ποικίλος, καθὰ τὰς ἀστεροπαρμαρυγὰς, ὡς ἂν πορφυριζούσας· ὑ γὰρ οἱ τὴν γαστέρα ἐπ-

λαπτελουῦντες ἀστέρας σφόδρα λαμπροί. ὁ σπερ ἔτος ὁ ἀστὴρ ὁ Ὠρίωνος ἐπιτέλλεται αὐτῇ τῇ χειμῶνι, ὀξέα ἐστὶ σφόδρα σιλβόντως τὸ φῶς ἀποπέμπει. σφαλερὰ οὖν, ἀντὶ τοῦ τὸ φῶς ἀφίησι στερρότατος. ὁ γὰρ ἐν ἑαυτῷ πεπυκνωμένῳ ἔχει ὁ ἀστὴρ τὴν λαμπηδόνα, ἀλλὰ διαχάσκουσαν, ὡς ἂν πάλλωσιν. Οὐκ ἔπι) Συναναπέλλει τῷ ἡλίῳ ὁ σείριος, ὅτε γίνεται εἰς τὸ θερινὸν τροπικὸν ἐν τῷ καρκίνῳ, ἀλλ' ἐπιφαίνεται, ὃς ἐστὶ κατὰ ῥωμαίους ἰούλιος, ὅτε ἡ φέρει πυρετὸν δηλοῖσι βροτοῖσι. ὑστερικοῦται δὲ σφοδρῶς γινόμενος τοῦ καύματος, πάντες οἱ ἀνασφοροι καρποὶ πέπειροι γίνονται. ὃ δὲ, οὐκ ἔπ' ἐκεῖνον τὸ σείριον, ἐλλιπισμός ἐστιν, ἀντὶ τοῦ, ὑκέτι ἐκείνου ἀνίοντος ἅμα ἡλίῳ, ψεύδονται αἱ ἄρκται, ἀναλδέα φυλλοβοῦσαι, ἀναυξῆ βάλλουσαι. ἀλλά, τὰ μὲν ἰσχυρὰ, διανέχοντα ἀεὶ τὸ καῦμα, τῶν καρπῶν πέπειρα ποιεῖ, τὰ δὲ ἐξασθενήσαντα διαφθείρει. ἀκούομεν δὲ, ἀντὶ τοῦ αἰθανόμεθα· ἀναπέλλοντος γὰρ αὐτοῦ ἀνπλαμβανόμεθα, καὶ ὅτε τροπὴν ποιεῖται ἡ δύσις, πάλιν γινώσκομεν. ἐπειδὴ γὰρ ὑτὸς ὁ ἀστὴρ ἐστὶν ἐν παντὶ τῷ κυνὶ ἐπισημότερος, φησὶν ὅτι καὶ ἀνατολῆς καὶ δύσεως αὐτοῦ αἰθανόμεθα· οἱ δὲ ἄλλοι οἱ λοιπὸν αὐτοῦ ἀποτληροῦντες σῶμα ἀστέρες, ἐλαφροὶ καὶ ἀνεπιχθεῖς εἰσιν ἡμῖν.

Ποσσὶν δ' ὠείωιος ὑπὸ ἀμφοτέρῃσι λαγωοῖς,
Ἑρμηνεὺς ἤματα πάντα διώκεται. αὐτὰρ ὄγ' αἰεὶ
Σείριος ἐξόπιθεν φέρεται μετόπισθε ἐοικώς,
Καί οἱ ἐπαντέλλῃ, καὶ μιν καπόντα διώκῃ. ὑκνοῦ

λαγωὸς) Εὖ καὶ ὡσθησκόντως ἔχουσι ἡ τῶν ἄστρων θέσις· τῷ γὰρ κυνηγῷ ἑπόμενος ὁ κύων φερωνὸς, καὶ ὁ λαγωὸς ὡδὶ πόδας τοῦ κυνηγοῦ. ὑπὸ οὖν τοῖς ποσὶ, φησὶ, τοῦ ὠείωνος, λαγωὸς ὡσανεὶ διωκόμενος ὑπὸ τοῦ κυνὸς, ὃ ὡσαναπέλλοντα ὡδαπλήλως τὰ ἄστρα. καπηβερίσθαι δὲ αὐτὸν λέγουσιν ὑφ' Ἑρμοῦ, διὰ τὴν ταχυτῆτα καὶ τὴν παλυηνίαν· μόνῳ γὰρ τούτῳ ἐδόθη κύειν πλείονα, ὧν τὰ μὲν τίκτει, τὰ δὲ ἔχει ἐν τῇ κοιλίᾳ. Ἑρμηνεὺς ἤματα πάντα) Ποιητικῶς χαριεντιζόμενος, ἅμα ἡ ὡσθεὶς τὸ διωκεῖς τῆς φύσεως τοῦ κόσμου ἡ τὴν εἱσπεῖ ἡμερησίου διαμονὴν λαπβλέπων, φησὶν, ὁ λαγωὸς ἀδιαλείπτως διώκεται. τὸ δὲ ἑρμηνεὺς, διωκῶς. σημαίνει δὲ τὸ αἰώνιον τοῦ κόσμου καὶ ἄφθαρτον. Καί μιν καπόντα διώκει) Ὡς ὡσπερ γὰρ καταφερόμενος εἰς τὸν λαγωὸν ἐστιν ὁ κύων.

Ἡ ἧ κυνὸς μεγάλοιο κατ' ὄμμα ἕλκε) ἀργὼ
Πρυμνόθεν· ἀλλ' ἤτοι τῇ γε κὶ χρέος εἰσὶ κέλεσθαι,
Ἀλλ' ὄπιθεν φέρεται τετραμμένη, οἷα καὶ αὐταὶ

Νῆες

Νῆες, ὅτ' ἂν δὴ ναῦται ἐπιτρέψωσι χορώνῃ, ἄπ-
Ορμον ἐσερχόμενοι· τὴν δ' αὐτίκα πᾶς ἀνακόπτῃ
Νῆα, παλιρρόθιον δ' ἂν καθάπλεται ἠπειρόθι.
Ὡς ἦ τε φρύμνηθεν ἰησονὶς ἕλκεται ἀργώ.
Καὶ τὰ μὲν ἠεέλιος ἀνάστερος οἷα παρ' αὐτὴν
Ἰσὸν ἀπὸ πρώρης φέρεται, τὰ δὲ πᾶσα φαφνή·
Καί οἱ πηδάλιον κεχαλασμένον ἐς ἁλὸς ἶφι
Ποσσὶν ὑπ' ὑραίοισι κυνὸς πεπάρθιον ἰόντος.

Η δὲ κυνὸς μεγάλοιο κατ' ὀρίωνα) Πρὸς ἀντιδιασολλὼ τὸ μικρὸν κυνός, ὃς καλεῖται πρὸ κύων, ἀφ' οὗ τὸ καὶ πρὸ τοῦ σημεῖα ἀνατέλλειν, πρὸ ὃν τὸν μικρὸν κύνα ἐπίκειται καὶ ὁ γαλαξίας. ὁ δὲ νοῦς, ὅπισθεν δὲ ὁ σῖριος κυνὸς ἡ ὀρίωνα φαίνεται, οὐκ ἔχουσα τὴν θέσιν κατὰ τὴν φύσιν, ἐπειδὴ ἡ τὴν πρόρραν ἔχει προηνιόχων καὶ προβάλεσαν, ὡσαῦτως ὤφειλε. ἀφ' ἧς τοῦτο καὶ πρώρα καλεῖται κατὰ Ηρωδιανόν, ἐτυμολογοῦντα αὐτὴν πρὸ τοῦ τὸ προϊέναι τὸ προπορεύεσθαι, προΐορα τις ἔσται καὶ πρώρα, προηγορευμένον ἔχουσα τὸ ι'. ἐπεὶ οὖν τὴν πρόρραν οὐκ ἔχει ἡ ὀρίων, φησὶν ὅτι πρὸς τὸ ἐναντίον πτυμνόθεν ἕλκεται, ἤγουν ὄπισθεν φέρεται ἡ ἀργὼ πρὸς πτύμναν, ὁμοίως ταῖς καταγομέναις τῶν νηῶν πρὸς πτύμναν· καὶ ἔστιν ἡμίτομος. τὸ δὲ ἕλκεται, ἴσως ὡς σκάφος· ἢ ὅτι ὑπὸ τοῦ οὐρανοῦ πρειάγεται. οὐκ εἰς δέον δέ, φησιν, αὐτῆς ὁ πλοῦς, ὅτι μὴ ἐπὶ πρώραν, ἐπὶ πτύμναν δὲ φέρεται. κορώνη δὲ, τὸ τῆς πτύμνης ἐπικαμπές· ὁ δὲ Αρατος λέγει τὴν πτύμναν, αὐτήν· ὅθεν Ομηρος κορωνίδας ναῦς· ἢ εἰς ἐναντίον φέρεται, ὡς ἐπὶ τὴν πτύμναν πταπῖσα, ὡσαῦτως καὶ ἄλλαι νῆες ἐπὶ τὴν πτύμναν τρέφονται, μόνον ὅταν προσορμίζωνται, ἵν' ᾖ, ἡ δὲ πτύμνα ὡς ἐπὶ γῆν ἐν τῷ οὐρανῷ εἰσάγεται· ὅθεν καὶ τὰ πτυμνήσια δέσμοῦσι· καὶ γὰρ, καὶ ἐπὶ τῶν ἄλλων νηῶν, ἐπειδὰν οἱ ναῦται ἀποστρέψωσι τὴν κορώνην, ἤγουν τὴν πτύμνην ἐν τῷ ὁρμίζεσθαι, τότε πᾶς αὐτὴν τὴν ναῦν ἀνακόπτει καὶ ἀνορθοῖ εἰς τὸ ἐναντίον, ἵνα μὴ ὁρμὴ λαμπομένη ἡ ναῦς, ἀθρόως ἐμπέσῃ τῇ γῇ. εἰς ζυγὸν οὖν ἠρέμα κωπηλατοῦντες κατ' ὀλίγον προσορμίσαι ποιοῦσι· διὸ καὶ αὐτός φησι, Παλιρρόθιον δὲ καθάπλεται ἠπειρόθι, ἤγουν τῇ εἰς ἐναντίον κωπηλασίᾳ καθορμίζεται τῇ ἠπείρῳ. ἠεέλιος δὲ, ἀντὶ τοῦ ἀνάστερος ἡ ναῦς· ἰησονὶς δὲ ἡ ναῦς τοῦ Ἰάσονος· κατηστερόθη δὲ αὕτη ἀφ' ἧς Αθηνᾶν, ὅτι προφήτις ναῦς ἐδείχθη παρ' αὐτῆς· ἀλλ' εἰς ἐναντίον φέρεται. Καί οἱ πηδάλιον) Τὸ πηδάλιον κεῖ) προβαίνοις ὀπισθίοις ποσὶ ὁ κυνὸς, ὅπου ὁ κύων τῆς ὀργῆς ἔμπροσθεν πορεύεται. κεχάλασται δὲ τὸ πηδάλιον αὐτῆς, ὡσαῦτως ὁρμιζομένης νηὸς, ἐπειδὴ πτύμναν ἔχει μόνον, ὃ ὡσαῦτως διόλου εἰσορμιζομένη ἐστί.

Τῶν

Τῳ δὲ κὴ ὐκ ὀλίγην περ ἀπόπροθι πεπλῆγθι
Ανδρομέδῃ, μέγα κῆτος ἐπαγχόμενον καπετοῖο·
Η μὲν γὰρ θρῄϊκος ὑπὸ πνοιῇ βορέαο
Κεκλιμένη φέρεται· ὃ δέ οἱ νότος ἐμπρὸν ἀγάγῃ
Κῆτος, ὑπὸ κρίῳ τε κὴ ἰχθύσιν ἀμφοτέροισι
Βαιὸν ὑπὲρ ποταμοῦ βεβλημένον ἀστερόεντος.

Πεπλῆγθαι ἀνδρομέδῃ) Διαλαμβάνει πρὸς ᾧ κῆτος, ὃ Ποσειδῶν ἔπεμψε τῇ κήφει, ⁊ πρὸς τῆς ἀνδρομέδης, καὶ διδάσκει αὐτὸ τὸ κῆτος ἀπό τινων προειγνωσμένων τῶν τε κελεοῦ κὴ τῶν ἰχθύων. ὁ δὲ νοῦς, τὴν δὲ ἀνδρομέδῃ καίπερ πλὴ πόρρω τοῦ κήτους ὖσαν, ὁμως ἐμφοβεῖ. πεπλῆγθαι δὲ, ἤγουν ὡς προσδεδέχθαι ἑτοίμην ὖσαν τῷ κήτει, ἢ ὅτι ἐμφαίνειν προεέχῃ τὸ δέος· ἀπερράφη γὰρ καὶ τὸν ἀφορᾷ πρὸς τὸ κῆτος, ἐπὶ δὲ τὰ βόρεια τὴν ὄψιν φέρει. Η μὲν γὰρ θρῄϊκος) Τὸ διάστημα τοῦ κήτους καὶ τῆς ἀνδρομέδης φησὶν· ἡ μὲν γὰρ ἀνδρομέδη, βορειός ἐστι· τὸ δὲ κῆτος, πολέμιον τῇ ἀνδρομέδῃ, ὅπερ ἤπειρον εἶπεν εἰς ἃ νότια ὂν, κάτω τοῦ κελεοῦ ⁊ τῶν ἰχθύων ἀμφοτέρων, ὀλίγον ἄνω κείμενον ⁊ ἀστερώδους ποταμοῦ· ἔστι γὰρ τὸ σύστημα νεφελωδὲς ἐξ ἀστέρων, ὕδατος ῥύσιν μιμούμενον, ὅπερ φησὶν ἠριδανοῦ λείψανον· κὴ γὰρ ἐκπεσων ἤθη, μεταχὼν τὸ κεραυνοῦ τοῦ Φαέθοντος· εἰς αὐτὸν γὰρ κατενέχθη ὁ Φαέθων ὑπὸ Διὸς καταβληθεὶς, ἀφ᾽ οὗ τὸ ἐπιβῆναι τῆς τοῦ ἡλίου ἅρματος.

Οἷον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορῆται
Λείψανον ἠριδανοῖο πολυκλαύστου ποταμοῖο. "καὶ 36.
Καὶ ὃ μὲν, ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει·
Δεσμοὶ δ᾽ ὑγροῖοι, τοῖς ἰχθύες ἄκροι ἔχουσι,
Ἀμφω συμφορέουσι, ἀπ᾽ ὑδάτων καλέοντες·
Κητείης δ᾽ ὄπιθεν λοφιῆς "ὀπιμὲξ φορέουσι," ἀναμὲξ
Εἰς ἓν ἐλαυνόμενοι, εἰὴ δ᾽ ἀτρέμα πειρώνται
Κήτεος, ὃς κείνῳ περὶ τῇ ὀπίκρηται ἀκμῴδῃ·
Οἱ δ᾽ ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ᾽ ἐγκείμενοι ἀγλῇ,

Μεσσῃ

Μεσσόθι πηδαλίου καὶ κήτεος εἰλίσσονται,
Γλαυκοῦ πεφρικῶτες ὑπὸ πλευρῇσι λαγῶνος
Νώτιμοι· ὑψηλοὶ γὰρ τοί γε πεφυγμένα εἰδώλοιο
Βεβλέαται μηγέεσσιν ἐοικότες, οἷά τε πολλὰ
Ἐξείης σιχόωντα παρέρχεται αὐτὰ κέλευθα
Ἀνυμένων ἐτέων. ταί πῃς ἀνδρῶν ὑκέτ' ἐόντων
Ἐφράσατ' ἠδὲ ἑκάστην ὀνομάσσατο πάντ' ὀνομαστί,
Ἠλιθα μορφώσας· ὑ γὰρ κε δυνήσατο πάντων
Οἷά τε κεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι. "οἵη
Πολλοὶ γὰρ πάντη, πολέων δ' ὑπὲρ ἶσα πέλονται·
Μέτρα τε καὶ χροιή, πάντες γέ μιν ἀμφιέλικτοι.
Τῷ δ' ὁμηρεύας γε ἐείσατο ποιήσασθαι
Ἀστέρας, ὅφρ' ὑπιδὰξ ἄλλῳ ὡδαικείμενος ἄλλος
Εἶδεα σημαίνοιεν· ἄφαρ δ' ὀνομαστὶ γνοίντο
Ἄστρα, καὶ ὑκέτι νιν ὑπὸ θαύμασι τέλλεται ἀστήρ.
Ἀλλ' οἱ μὲν καθαροῖς σπαρηότες εἰδώλοισι
Φαίνονται· τὰ δ' ἔνερθε διωκομένοις λαγωοῖς
Πάντα μάλ' ἠερόεντα, καὶ οὐκ ὀνομαστὰ φέρονται.

Οἷον γὰρ κἀκεῖνο) Θαυμαστικῶς ἐδέξατο ὁ κήτους διδαίξας τὸν ὡδαικείμενον ποταμόν· καὶ τὸ μὲν ἠριδανοῦ καλούμενον λείψανον, ὑπὸ τὸν τοῦ ὠρίωνος κεῖται ἀριστερὸν πόδα. οἱ δὲ ἁπτοὶ δεσμοὶ τῶν ἰχθύων, οἷς ἀμφοτέροις δέδενται, συμπεφερόμενοι) καὶ ἐπιψαύουσι τοῦ κήτους ἀκμῆς· ἡ γὰρ τοῦ ἠρίδανος ἀκμὴ, ἡ πρὸς τὸν ὠρίωνα, σελινοειδὴς ἔσα, ἄκρως ἐπιψαύει ἀμφοτέρων τῶν δεσμῶν, οἷς καὶ αἱ τῶν ἰχθύων ὐραὶ δέδενται). ἔστι δὲ ὁ ἠριδανὸς τῆς γοτνιώσης τῇ Ἰταλίᾳ θαλάσσης. καλεῖται) δὲ ὑπὸ τῶν ἐγχωρίων ×βύσσερνος, αἰγύπτιοι δὲ φασι, νεῖλον εἶναι τὸ κατηστερισμένον. Κητείης δ' ὄπιθεν λοφιῆς ἀναμιξ φορέουσι)) Οἱ δεσμοὶ δηλαδὴ, εἰς ταὐτὸν περατούμενοι, καὶ εἰς τέλος ἐρχόμενοι. τὸ δὲ ὅς κεῖνος, ἀντὶ τοῦ ὅστις ἀστὴρ ἐπικεῖται τῇ ἀκμῇ τῇ ὠρίωνος κήτους. ὁ γὰρ

×βόδινος

ἐπὶ

ἐπὶ τῆς ἀνατολῆς ἀστὴρ, πέλει ἐπὶ τῶν δισμυρίων τῶν ἰχθύων. Οἱ δ' ἁλίευμα μύεσιν) Μάτην λέγει τὸ μύεσθαι. λέγε οὖν, ὅτι μικροὶ εἰσι καὶ ἀμυδροί. Φησὶ δὲ τῶν νοτίων ἀστέρων τῶν μεταξὺ τοῦ πηδαλίου καὶ τοῦ κήτους διηκόντων κατὰ τῶν τοῦ λαγωοῦ πλευρῶν. οὗτοι δὲ οἱ ἀστέρες ὑπὸ τῶν παλαιῶν ἀστρονόμων ὑ διετυπώθησαν, οὐδὲ εἰδώλοις ἐποίλωτευ, ὡς ὡς ἅπαντα τὰ συζυγημένα· ἀλλ' ἐπειδὴ ἀφανεῖς εἰσιν, ὄντες σφόδρα νότιοι, λέγει τοῦτο οὐ τυπώσεως ἔλαχον παρὰ τῶν παλαιοτέρων. οὕτω δὲ αὐτῶν ψιλῶς μνημονεύει, ὑπὲρ ὧν μή τινας τῶν ἐν τοῖς νοτίοις τούτοις τοὺς ἀστέρας θεασαμένους, πλανηθῆναι. τινες οὖν εἰσιν οἱ ἀστέρες οὗτοι, οὐ λέγει, ἀλλὰ διδάσκει ὅτι μόνον φέροντες. ἀμυδροὶ δὲ εἰσιν οἱ νοτιώτεροι ἀστέρες, ἐπειδὴ συζυγότεροί εἰσι τῶν βορείων· αἱ δὲ τῆς γῆς ἀναθυμιάσεις διδόμεναι, ἀμαυροῦσι τοὺς ἀστέρας. Οὐ γάρ τοι γε τετυγμένως) Οὐ γὰρ μορφωθέντος εἰδώλου ἐπὶ τοῖς μέλεσιν, ὁποῖα πολλὰ εἴδωλα ἐν συζυγημένοις πάντα ἐφεξῆς καὶ κατὰ ζῴξιν κείμενα, ἀνύει τὰς αὐτὰς ὁδοὺς ἐπιχωριάζοντα τῷ χρόνῳ. ἐδίδαξεν οὖν ἡμᾶς, ὅτι εἰδωλοποίησαν οἱ παλαιοὶ τοὺς ἀστέρας, ὑπὲρ ὧν δύσνυκτους εἶναι· οὗτοι δὲ οὐκ εἰδωλοποιήθησαν, ὡς ἐν συζυγημένα. Ἐξείης τιχόωντα) Περὶ τῶν λοιπῶν διαλέγεται ἀστέρων, ὅτι ἕκαστος αὐτῶν τὰς αὐτὰς ὁδοὺς καὶ διαφορὰς ἔχει· ἀφ' ἧς ἂν σημείου ὁ ὁρίζοντος ὁ αἰγόκερως ἀνατέλλῃ, εἰς ἐκεῖνο πάλιν τὸ σημεῖον ἀνατέλλει καὶ εἰς οἷον ἂν μέρος δύσιν ποιήσῃ, πάλιν δρόμῳ, ὁσονεὶς ἕτερον μέρος δύσει. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ πάντων· ἕκαστον γὰρ κατὰ ἐν αὐτὸ σημεῖα ἀνατέλλει καὶ δύνει. Τά τις ἀνδρῶν ὑκάτ' ἐόντων) Τὰ εἴδωλα τῶ ὑκάτ ὄντων ἀνδρῶν παλαιὸς ἦν ἀνὴρ ἐσκέψατο, καὶ διενοήθη ἅπαντα, ἀθρόως καὶ ὁμοῦ μορφώσας, καὶ ὄνομα θεὶς ἑκάστῳ· ἐπὶ γὰρ ὑδρωΐδη πάντων τῶν ἀστέρων κεῖται ἕνα ἀγκελίων, ὄνομα εἰπεῖν, ἢ μορφεῖν, ἀλλὰ λαβὼν πολλῶν κηφέα λέγει καὶ ζεύστλω. εἰπὼν δὲ καὶ ταῦτα πάντα, διετύπωσε, καὶ συσημειώσατο πάσῃ τῇ ἀγατυπώσει δέδωκε, ζεύστην εἰπὼν, καὶ λέοντα, καὶ τὰ ἑξῆς· ἐδίδαξεν ἡμᾶς, καὶ πῶς εἰδωλοποιήθησαν, καὶ δι' ἣν χρείαν. Ηλιθα μορφώσας) Πολλοὶ γὰρ ἀστέρες κατὰ πᾶν μέρος τῆς ἁρπαγῆς ἐν πολλῶν ἴσως τὰ μυθήσῃ εἶσι, ἐν τῷ φῶς ἐν αἰ χρόαι ὁμοίαι, ἐν πάντες εἰσὶν ἀμφιελίκτοι, οἷον συνυφερόμενοι τῇ ἁρπαγῇ, ἀνατέλλοντές τε ἐν δυόντες. ἐπεὶ οὖν πολλὰ ἐστὶ τὰ ὁμοιώματα αὐτῶν, ὥστε ἠδύνατο ἰδίως καὶ κατ' ἐν σκοπεῖν· διὸ ἐπὶ τὸ αὐτὸ ἔδοξεν αὐτοῖς συναγαγεῖν ἀστέρας πλείους, διεπίγνωσιν τὸ σχῆμα ἀποζαζομένους. Τῷ καὶ ὁμηγερέας) Διὰ τοῦτο, φησὶ, τὴν αἰτίαν αὐτοῖς ἐξ ἀρχῆς τοῦ ἀγατύπωσιν ποιησαμένοις ἔδοξεν ὁμηγερέας καὶ ἅμα πλείονας ποιήσασθαι, καὶ ἀγατεῖναι ἀστέρας, ὅπως ἐφεξῆς καὶ κατὰ ζῴξιν ἄλλῳ προσκείμενα ἄλλα, ἰδέας ἐν μορφώσεις ἀποπλοίη. διήκει οὖν ἐκεῖνο τὰ ἐδώλια, τὰ συζυγημένα τοῦτο τὰ παρ' ἐκείνων μορφωθέντα ὀνόματα. καὶ νῦν ὑκέτι ἐν τοῦτο μετ' ἀνατέλλει ἀστὴρ, ἐδὲ κατερίζει τῇ κατότητι τῆς ὄψεως· πάλαι γὰρ τοῦ ὄψει ἔκειτο τε ἐν γνωμόν. Εἴδεα σημαίνοιεν) Τοῖς συζυγημένοις εἰδώλοις. ἢ ἑδετέρως εἶπε τὰς ἰδέας αὐτῶν. τὸ δὲ ἄφαρ· ἐν ἐδυώνατο πάντας ἰδίᾳ ἐν κατ' ἕνα κεχωρισμένον ὀνομάσαι, οὐδὲ μαθεῖν ἔκρυψεν καὶ γνῶναι, οὕτω μεμιγμένων ὄντων, δυνατὸν ὦν. Αλλ' οἱ μὲν, κατηρεῖς) Επὶ τὸ ἑξῆς κατὰ ζῴξιν ἦλθε λοιπὸν εἰς τὸ συζυ-

μβμεν. ἀλλ' οἱ μὲ πεθειρημβρόι ἀστέρες δύσπνοόπλοί πως, εἰδώλοις ἡρμοσμένοι, καὶ ἡμῖν φανερρί εἰσι. τὰ δὲ πεκείμβνα ἄστρα, κατωτέρω κείμβνα τῦ ἐπιδιακρμβύς λαγωοῦ. εἴπομβν δὲ, πῶς διάκειται· πάντα ἐσὶ μιξθα.

σκοτεινὰ καὶ ἀνοσόμοισι· ἃ δὴ μορφωθέντα ὀνομασίας ἔσχεν, ἀλλ' ἀχλυώδη ὄντα, διὰ τὸ εἶναι νότια & ἀπεσημήρυτα ἐσι. διὸ δὲ αἰτίαν μέμνηται μύθου αὐτῶν, πεθιεξθέμιθα.

Νεόθι δ' αἰγοκερῆος ὑπὸ πνοιῇσι νότοιο,
Ἰχθὺς ἐς κῆτος τεταμμένος ἠώρηται,
Οἷος ἀπὸ προτέρων, νόμιον δὲ ἑ κικλήσκουσιν,
Ἄλλοι δὲ ἀπορράδιν ὑποκείμενοι ὑδροχοῆϊ
Κήτεος αἰθυσσόμενοι κατὰ ἰξύος ἠερέθονται),
Μεσσόθι, νωχελέες καὶ ἀνώνυμοι· ἐκ δὲ σφῶν
Δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυῆ ὑδροχόοιο,
Οἵη τις τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
Σκιδναμένη, χαεσποὶ καὶ ἀνηδέες εἰλίασιν).
Εἰ δέ σφιν δύο μᾶλλον ἐρεσσόμενοι φορέουν)
Ἀστέρες, οὔτέ κε πολλοὶ ἀπήμονες, οὐδὲ μάλ' ἐσθλοί·
Εἷς μὲν, ὑπ' ἀμφοτέροισι ποσὶν καλός τε μέγας τε
Ὑδροχόος· ὁ δέ, κυδιόων ὑπὸ κήτεος ὄρνῦ
Τὸς πάντας καλέουσιν ὕδωρ. ὀλίγοι γε μὲν ἄλλοι
Νεόθι τοξοτῆρος ὑπὸ προτέροισι πόδεσσι
Δινωτοὶ κύκλοι πεδιηγέες εἰλίασιν).

Νειόθι δ' αἰγοκερῆος) Περὶ τὸ νότιον ἰχθύος διαλαμβάνει. καὶ τοῦτο πάλιν ἀπὸ τῶν πεθεγνωσμένων διδάσκει, ἀπὸ τῦ αἰγοκέρωτος, σὺ τοῖς τῦ νότου πνοαῖς· σφόδρα γὰρ νότιός ἐσιν ὁ τοῦ αἰγοκέρωτος ἰχθύς. ὅτος δὲ ὁ ἰχθύς ἐσιν ὁ μέγας καλέμενος, ὃς κάμπλειν λέγε) ὕδωρ, ἀπὸ τῆς τοῦ ὑδροχόου χύσεως. τοῦτον δὲ σημαίνειν τὸς δύο ἰχθῦς εἶναι λέγεται. Ες κῆτος πεταμμένον) Τὸ γὰρ ὄφιν ἐπὶ τὸ κῆτος ἔχει αἰφορῶσαν. δύο οὖν δίδωσι τεκμήρια τῆς καταλήψεως ἀπὸ τοῦ αἰγοκέρωτος. τὸ δὲ

δὲ ἠάρηται, ἤτοι ἀπλῶς φέρεται, ἢ τὸ κυλιόμενον, ἐπὶ νότον ἐστὶν, ἀναμιτωειζομβρίω ἔχων τὴν ὄψιν, ὡς ἐπὶ τὸ κῆτος. Οἷον ἀπὸ πρωτέρων) Σφόδρα ἀκριβῶς, ἵνα μὴ περὶ ἰχθὺν Ἀφλαμυδάνων, λίαν πλανᾷ τὸν ἀκούοντα, ὡς πρὸς τοὺς προειρημένους προστίθησι τὸ οἷον ἀπὸ τῶν πρωτέρων, δηλαδὴ τῶν προεγνωσμένων ἐν τῷ ζωδιακῷ κύκλῳ. καλοῦσι δὲ τὸν ἰχθὺν νότιον ἀπὸ τῆς θέσεως, ἢ ὅτι πρὸς τὸν νότιον ἐστὶ κύκλον. Ἄλλοι δὲ παρορμίδιον) Πάλιν Ἀφλαμυδάνει περὶ λίνων ἀστέρων κειμένων ἐν τῷ νοτίῳ, μεταξὺ τοῦ τε ἀστέρος καὶ ὑδροχόου καὶ Ϛ κήτους. μνημονεύει δὲ αὐτῶν πάλιν Ἀφλ. τῷ προειρημένῳ αἰτίαν, ὑπὲρ Ϛ μὴ λίνα πλανηθείωσιν ἰδόντα αὐτὰ ἐν τῷ νότῳ κειμένους. Φησὶν οὖν ὅτι ἀνόμοιοί εἰσι. Ναυκλήρους) Βραδεῖαν ἔχοντες τὴν κατάληψιν, ἀμυδροὶ γὰρ, Ἀφ. τὸ εἶναι προσηκοτέρους. τὸ δὲ ἐγγύθι, ὅτι ὁ ὑδροχόος ἔχει ὡς πρὸς ὑδρεῖον ἀπὸ ἀστέρων, ἀφ' ἃ λοιπὸν ἐξ κάτω ἀστέρες φέρονται, ὑδάτων χύσιν ἀπομιμούμενοι. ἔνθα δὲ ἓ ἔνθα, φησὶ, Ἀφ. τῆς κατωτάτω τῶν ὑγρεμπαὶς ὑδάτων, τῇδε κἀκεῖσε· ὅπερ γὰρ καὶ οἱ ἀστέρες ἐκεῖνοι. Χαροποὶ καὶ ἀναλδεῖς) Πυρροειδεῖς καὶ ἐκλαμπρους, ἢ οἱ μὴ μεγάλοι· ἀλδαίνειν γὰρ τὸ αὐξάνεσθαι. τὸ δὲ ἐν σφίσιν, ἐν πᾶσι δηλοῖ τὸ ὕδωρ ἀποτελοῦσιν ἄστρασι μᾶλλον τῶν ἄλλων δύο ἀστέρες φαεινότεροι καὶ λαμπρότεροι φέρονται, ὅτι πολὺ ἀπ' ἀλλήλων διεστηκότες, οὔτε ἐπὶ πολὺ ψαύοντες ἀλλήλων. Εἷς μὲν) Ὁ μὲν εἷς καὶ πάνυ ἐστὶ φαεσφόρος, ὑπὸ δεξιᾶς τῆς ὑδροχόου ποσίν· ὁ δὲ ἕτερος, Ϛ κυανέως κήτους ὑπὸ τὸν ὠμόν. Νεύσῃ δεξιτῆρος) Εἰσὶ δὲ ἓ ἄλλοι ὁμοίως ἀφανέστεροι ἐν κύκλῳ προσεγγραφῇ, οὓς τῶν νεωτέρων λινὲς ἐρανίσκον καλοῦσιν· οἱ δὲ, νόπον στέφανον. εἶναι δὲ αὐτὸς, οἱ μὲν, Περμηνίδα φασίν· οἱ δὲ, Ἰξίονα τοξόν. κεῖνος) δὲ ὑπὸ δεξιᾶς ἐμπροσθίοις ποσὶ τοῦ δεξιτοῦ, καί εἰσιν ἀστέρες ιθ'. τὸ δὲ, δινωτοὶ, προσηγμένοι εἰς κύκλον, παρὰ τὸν δίνον, τὸν ἐγκύκλιον φορόν.

Αὐτὰρ ὑπ' αἰθομβρίῳ κέντρῳ τέρματος μεγάλοιο
Σκορπίου, ἀζηχὲς νότοιο ζυτήριον ἀίσσει.
Τοῦ δή τοι ὀλίζην μὲν ὅτι χθόνιον ὑψόθ' ἑοῦσης
Πύστεαι· ἀντιπέρηθεν γὰρ ἀείρεται ἀρκτίου· πάλιν
Καὶ τῷ μὲν μάλα πολλὰ μετηορέοισι κέλευθοι
Ἀρκτούρῳ· ὃ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἄλα νίσσει.
Ἀλλ' ἄρα καὶ τεῖ κεῖνο ζυτήριον ἀρχαίη Νὺξ
Ἀνθεμόεντα κλάσασα πόνον, χθονὸς ἔθηκεν
Εἰνάλιον μέγα σῆμα· κεδαιόμενα γὰρ ἐκείνη πάλιν

Νῆες

Νῆες ἀπὸ φρενός εἰσι· τὰ δ' ἄλλοθεν ἄλλα πιφαύσκῃ
Σήματ' ἐποιχτείρουσα πολυῤῥόθοις ἀνθρώποις.
Τῷ μή μοι πελάγῃ νεφέων [x] εἰλυμμένον ἄλλων
Εὔχεο μεσσόθι κεῖνο φαεσίμβροτα ἕρκινῷ ἄστρον,
Αὐτὸ μὸ ἀνέφελόν τε καὶ ἀγλαόν, ὑψι δὲ μᾶλλον
Κυμαίνοντι νέφῃ πεπιεσμένον, οἷά τε πολλὰ
Θλίβετ' ἀιατέλλοντος ὀπωρινοῦ βορέαο·
Πολλάκι γὰρ καὶ τῦτο νότῳ ἐπὶ σῆμα πιτύσκῃ
Νύξ αὐτή, μογερῆσι χαριζομένη ναύτῃσιν.

[x] κεκλιμ-

Ὑπ' αἰγομβρῳ κέντρῳ) Λαμπρῶ· λαμπρότατον γάρ εἰσιν οἱ ἐπὶ τοῦ κέντρου ὑποκείμενοι ἀστέρες. μέγα δὲ τέρας, τὸν σκορπίον φησὶ, διὰ τὸ πολυειρημένα· ὅτι δύο ζωδίων ἐπέχει τόπον. ξ'. γὰρ μοιρῶν ἐστὶ τὸ ζώδιον· αἰγόμορον δὲ αὐτὸ φησι τὸ κέντρον, ὡς πρὸς τὸ σκορπίε τὰ δήγματα· ἔνιοι γὰρ σφόδρα λαμπρὸν ἔχουσι τὸ κέντρον τὸ τύμμα. ὁ δὲ νοῦς, κάτω δὲ τοῦ λαμπρὸν κέντρου τοῦ σκορπίου θυτήριον αἰωρεῖται, ὅ ἐστιν ἥρτηται, φέρεται· τὸ δὲ ἄλλῃ νότιο, ἀντὶ τοῦ ἀριστερὰ τοῦ νότου· νοτιώτερον γάρ ἐστι πάντων τῶν ζωδίων τὸ θυτήριον, τοῦ νοτίε πόλε ἐπιψαῦον. τὸ δὲ θυτήριον λιβανώτιδι ὁμοιόν ἐστιν, ᾧ φασι τὰς θεὰς χρήσασθαι, ὅτε τὰς Τιτᾶνας κατηγωνίσαντο. Ἐρατοσθένης δὲ φησι, τοῦτο τὸ θυτήριον εἶναι, ἐφ' ᾧ τὸ πρῶτον οἱ θεοὶ σπονδὰς ἐποιήσαντο, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν ὁ Ζεύς, κυκλώπων κατασκοπευσάντων, ἔχον ἐπὶ τοῦ πυρὸς κάλυμμα, ὅπως μὴ ἴδωσι τὴν τοῦ κεραυνοῦ δύναμιν· ἐπιτυχόντες δὲ τῇ πράξει, ἔδηκαν εἰς ὑ-

ρανὸς τὸ αὐτὸ κατασκεύασμα· ὃ εἰς τὰ συμπόσια φέρουσιν οἱ κατακείμενοι βαλόμενοι, ἢ αὐτοὺς αἰρόμενοι ἐν τοῖς ἀγῶσι, διὰ τοῦ ὀμνύειν δίδοσθαι βαλομένοις, ὡς δικαιοπίστου πίστιν παρῶσι, καὶ τῇ χρεὼ ἐφάπτοντες, ἀκινήτου σύγνωμοσύνης μαρτύριον τὸ πῦρ. ὁμοίως δὴ καὶ οἱ μάντεις τοῦτο ποιοῦσι. Τοῦ δήποτε ὀλίγον) Ἀντὶ τοῦ ἐπ' ὀλίγον χρόνον τοῦ ἐπὶ γῆς φερόμενον θεάσῃ. ἐσπερίαν ἄλλα δὲ, τὴν δύσιν λέγει. τὸ δὲ, ἀντιπίπτουσα εἰρηται, ἤγουν εἰς τὸ ἐναντίον. πῶς δὲ τὸ ἐναντίον τὰς ἀναφορὰς ἔχει, διδάσκει. Κέλευθοι δρηστῆρα) Τῷ μὲν δρηστῆρα σφόδρα μετέωρον καὶ μεγάλας εἶναι αἰ ἀναφοραὶ, ἅτε δὴ ὂν βορειότατον· τὸ δὲ θυτήριον ἐλάχιστον ὑπὸ τὸν ἐσπέριον ὠκεανὸν δύνειν. ἔλαβε δὲ τὸν δρηστῆρα, ἐπειδὴ καὶ αὐτὸς ἐπιψαύει τοῦ βορείε κύκλε, ἢ πόλε, ὥσπερ καὶ τὸ θυτήριον τοῦ ἀνταρκτικοῦ. καί ἐστιν ὕτως· ἀνατέλλει μὲν λέοντος ὁ δρηστῆρας, ἰδοὺ δύο ὧραι· εἶτα παρθένος, ἰδοὺ δύο. εἶτα ζυγὸς, ἰδοὺ ὥραι ς'. εἶτα σκορπίος, ἰδοὺ ὧραι η'. καὶ τότε μὲν ὥραιον ὁρᾶται, τὸ

τὸ ἀντήλιον ἀνατέλλει, εἶτα ζέζότης, ὥραι ί. αἰγόκερως, ιβ'. ὑδροχόος ισ'. εἶτα ἰχθύες, ὥραι ις'. ☪ τῷ ἀντηλίῳ, ὥραι ή· ὀκλῷ οὐ ὥρας ποιῆται, δύετον τὸ ἀντήλιον· ὁ δὲ ἀρκτοῦρος, ις'. ὑπέργαιος μέν ἐστιν· ὑπόγαιον δὲ ἐκεῖνο, καὶ ἐναντίον ζύγου παραδύεται. διὸ καὶ τὸ μὲν ἀετίον δυνὰς· ὁ δὲ, μείζονας ἔχει τὰς φορμάς. Ἀρχαίη νὺξ) Ἀρχαιοτέρα γάρ ἐστι τῶν ἄλλων. καὶ παρ' Ἡσιόδῳ, Ἐκ χάεος δ' ἔρεβός τε, μέλαινά τε νὺξ ἐγένοντο. φασὶ δέ τινες, ὅτι μυθικῶς τι ἐπιψαύων καὶ φυσικῶς ἅπτεται, ὅτε ἡ νὺξ ὁδυρομένη τὴν τῶν ἀνθρώπων ἀλαμπείαν τοῦ μαλακτικοῦ χλιμῶνος καὶ τοῦ πάγους σημεῖον ἔθηκεν ἐκεῖνο τὸ ἀντήλιον, ὅτε ὁ ἥλιος ἐστὶν ἐν αἰγοκέρωτι, τῷ τυδὶ μηνί, ὃς ἐστι κατὰ ῥωμαίους ἰανουάριος, ὅτε ☪ ὁ νότος ἐν χλιμῶνι πνεῖ. Νῆες ἀπὸ φρενὸς) Αἱ γῆες γὰρ ἀποφθορήμασι, ἐκείνῃ, ἤγουν τῇ νυκτὶ, δοκοῦσιν ἀρέσκειν) αὐτῇ, ἀλλ' ἄχθεται ἐφ' οἷς κινδυνεύουσιν οἱ ἄνθρωποι κατὰ τὸ πέλαγος. δοκοῦ δ' ἀρέσκεσθαι οὐκ αὐτῇ· ἀποθύμια γάρ ἐστι. Τὰ δ' ἄλλοθεν ἄλλα πιφαύσκει) Ἤγουν τὸ βιωφελές· ὡς καὶ προεῖπομεν, καὶ φυσικῶς ἅπτεται, ὅτι ἡ νὺξ πολλὰ τεκμήρια ἐπιδείκνυσιν, οἷς ἐπέρχεται τοὺς ἀνθρώπους, τοὺς προσεκλυζομένους καὶ κινδυνεύοντας· δι' ὧν καὶ προεπιδείκνυσι, προσκέψασθαι τὰ μέλλοντα ποιεῖν. τὸ δὲ παλιρρόθιος, προσεκλυζομένους ἀνθρώπους· ῥόθια γὰρ τὰ ῥεύματα· κυρίως δὲ ἐπὶ τοῦ κλύδωνος ὁρμαί· οἷον οὐδὲ σύνεφής ὁ ἀὴρ ἦ, φανῇ δὲ τὸ ἀντήλιον καθαρὸν καὶ ἀνέφελον, τὸ δὲ ἄνω νέφη κατέχῃ, οἷα πολλάκις γίνεται, μαθήσεις ὅτι χλιμὼν ἔρχεται παραυτίκα. ἔνιοι δὲ, τὸ εἰλυμένον, κεκλιμένον πρὸς δύσιν, καὶ σωπᾶσι τὸ πελάγη, ἵνα ᾖ, μὴ μοι κεκλιμένον τοῦ πελάγη. σημεῖον δέ, φησιν, αὐτὸ νότου πνέοντος, ὑγρὸς δ' ἔστω, μή μοι ἐν τῷ πελάγη ὢν, ᾖ πλησίον ᾖ ἀντηρίς ☪ ἀνωτέρω ἄλλων ἀστέρων ὑπὸ νεφέλῃ κεκαλυμμένων, δύσῃ αὐτὸ ἐν μέσῳ ζοῦ ἑρμοῦ ἀνέφελον ☪ δυσώνυμον ἰδεῖν· τότε γὰρ σφοδρὸς χλιμὼν ἔσται· ἐπειδὴ γὰρ αὐτὸ τὸ ἀντήριον σφόδρα πλησιάζῃ αὐτῷ τῷ νότῳ, διὰ τοῦτο ὅταν τὰ ἐπιόντα εἰς αὐτὸν νέφη ὁ νότος κάτωθεν πνέων, ἀπώσεται ἀφ' ἑαυτοῦ αὐτὰ, αὐτὸς δὲ μένῃ ἀνέφελος, καὶ κεῖνο ἀνέφελον μένῃ. μὴ οὖν, φησὶν, ἐν μέσῳ πελάγη ὢν δύσῃ ἰδεῖν, τὰ μὲν ἀνωτέρω αὐτοῦ ἄστρα κεκαλυμμένα νέφεσιν, αὐτὸ δὲ ἀνέφελον· τότε γὰρ χλιμὼν καὶ νότος ὁ δηνὸς ἀήτης, ὅσπερ ἐστὶ θαλασσαπόμπος ἁμαρτῇ δ' αὖ Διὸς ὄμβρος. εἰλυμένον δὲ ἄλλων, τουτέστιν ὑπὸ νεφελῶν ἄλλων εἰλυμένον τὸ ἀντήριον. Κυμαίνοντι) Φιλεῖ συνήρμοσεν ὁ μέλλων πνεῖν ἄνεμος τὰ ὑπαρκείσματα νέφη. Πολλάκι γάρ) Τοῦτο σημεῖον αὐτό ποιεῖ ἐπὶ νότου. φοβοῦ δ' οὕτω ἐπὶ τῷ σημείῳ ☪ ἀντηρίς πνέοντα νότον, ἕως ἂν ἐπιφρίψωσιν ☪ βορέου αἰθύσσηται.

Οἱ δ' εἰ μὲν κε πίθωνται ὀλοίσια σημαίνοντι, Ἀΐσσα τε κουφά τε πάντα, καὶ ἅρπια ποιήσωσι), Αὔλακι ἐλαφρίζοντες πέλει) πόνος· εἰ δέ κε μὴ

" φέρει) ὑψόθεν

Υφόθεν ἐμπλήξῃ δίνη ἀνέμοιο θύελλα
Αὔτως ἀπρόφατος, ἠὲ δὲ λαίφεα πάντα ταρύξῃ,
Ἄλλοτε μὲν τ' ἐπάμωθεν ὑποδρυχα ναυτίλλονται·
Ἄλλοτε δ', αἴκε Διὸς ἀδινώτερον ὄμβριον τύχωσιν
Εὐχόμενοι, βορέω δὲ ἀδρότερον ἀνέμοιο πνοιῇ
Πολλὰ μάλ' ὁπλήσαντες, ὁμῶς πάλιν ἐσκέφαντο
Ἀλλήλους ὅτι νῆα. νότον δ' ὅτι σήματα τεύχῳ
Δείδιε μέζων βορέης ἀπαρράφαντος ἰδέσθαι.
Εἰ δέ κεν ἐσπερίης μὲν ἁλὸς κενεὸν ἀθρήσῃ ὄμμα,
Ὧμος, ὅσον προτέρης· ὀλίγη δέ μιν εἰλύει ἀχλύς
Αὐτόν, ἀταρ μετόπισθεν ἐοικότα σήματα τεύχει
Νύξ ἐπὶ παμφανόωντι θυτηρίῳ, ἤ σε μάλα χρὴ
Ἐς νότον, ἀλλ' εὐρεῖαν ἀεισκοπέειν ἀνέμοιο.

Οἱ δ' εἰ μέν κε πίθωνται) Οἱ δὲ ναῦται, ἐὰν μὴ πιστεύσωσι τῇ νυκτὶ, καθήκοντα καὶ ὠφέλιμα δηλούσῃ, καὶ σύδην πικμήρεων εἰδότες, ὅτι παρέχει ἔσω τῶν ὑδάτων, κοῦφα τὰ πάντα ἐν τῇ νηῒ ποιήσονται, πρὸς σωτηρίαν πίνουσι. λέγει δὲ κοῦφα, τὸ ἐξαλάσαι τῶν ἐν θορυβέντα ποσὶ, καὶ μὴ φιλονεικῆν ἐναντίον τοῖς πυδμήσι, καὶ ἀπόνως ἐλαφρότερον ἔσαι. εἰ δὲ μὴ, ἀπρόφατον, ἤγουν ἀπροσδόκητον ἐμπεσεῖται, ἐξαιρέξει τὰ ἄρμενα μὴ χαλάσαντα, ἀλλ' ἐναντήμενα τῷ κακῷ. τότε δὲ οἱ πλέοντες, ἔστιν ὅτε ὑποδρύχιοι, ὑπ' αὐτὸ τὸ ὕδωρ πλέουσιν, ἐκ ἐπὶ νηὸς, ἀλλ' ἐπ' αὐτῶν τῶν ὑδάτων φερόμενοι. ἔδ' ὅτι δὲ ἰὰν ἐπιτύχωσι τοῦ Διὸς πιέζοντος, ῥύον). τοῦτο δὲ ὡς ἐν ἡυμῇ φησιν, ὅτι εἰ μὴ ἄρχοι ὁ Ζεὺς παριὼν τύχῃ, καὶ δύχομβρος ἐπέλθῃ, καὶ τοῦ βορέου ἡ δύναμις ἐναντίον τῇ τοῦ νότου πλοΐσῃ, καὶ ἀφασκορπίσῃ τὰ νέφη, καὶ αἰθρίαν ποιήσῃ· πνοιὰς γὰρ ὁ βορέας αἰεὶ σκεδαννύει τὰ νέφη. Ὁμηρος, Αἰθρηγενέος βορέαο. οἱ τότε πολλὰ παθόντες, πάλιν ὁρῶσιν ἀλλήλους ἐν τῇ νηῒ· ὁ γὰρ ὄσασιν ὑπὸ τοῦ κακοῦ, ὅπου ἂν ὦσιν. Εἰ δέ κεν ἐσπερίης) Αν δὲ μεσουρανήσῃ ὁ τοῦ κενταύρου ὦμος, ὀλίγη δὲ πρὸ αὐτὸν ἀχλὺς ᾖ, ἤτοι τὸ ἄμων, ἢ τὸ κένταυρον, ἐν δὲ ἐπὶ τῷ θυτηρίῳ σημεῖα ὄμβρια ᾖ, ὁ χρὴ σε νότον φαντάζεσθαι, ἀλλ' βορέην· τῷ δὲ πρότερης, σωτηρικώτερον γαλάσσης. τὸ γὰρ ὀλίζονται, ἐν ἀκεανὸν, ἐν θάλασσαν καλεῖ. ὁ δὲ νῆς, ἐὰν δὲ ἐν νοτίῳ κενταύρῳ ὁ ὦμος ἑστῶτον ἀπίχῃ τ' ἀνατολῆς, ὅσον ἐν τ' δύσεως,

ἀντὶ

αὐτὴ ὅτι μεσουράνιός ἐστι. ☾ αὐτὸν μὲν τὸν κένταυρον κρατεῖ πᾶν τὸ ἄλλο σῶμα ὠφειδέως καὶ νεφελῶν ὀλίγη ἀποφυσία. μετὰ ταῦτα δὲ ἐπὶ τῷ ἡνιοχείῳ ☾ τὰ πεφεισημένα σημεῖα λοιπὴ ἡ νύξ, ἐκεῖ φησι νότον πεφυδρωκῶν, ἀλλ' αὐτὸν ὕδωρ ἐπιτηρεῖν, ὃς ἀπὸ χαμερινῆς ἀναπολῆς πνεῖ. Ἀπὸρ μετόπιθεν) Μετὰ δὲ ταῦτα, ὡς ἀμφιφῆ εἶναι τὸ κένταυρον ἐπὶ τῷ λάμποντι ἡνιοχείῳ, ἐπιφορμᾷ δὲ ὅτι ἂν εἴη αὐτὸ μόνον ἀνέφελον, ☾ ὑπεράνω δὲ αὐτῆς νεφελώδη, ἔψεται ☾ ἑοικότα σημεῖα.

Δήϊς δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
Τοῦ γάρ τοι, τὰ μὲν ἀνδρὶ ἐοικότα, νῶτα κεῖται
Σκορπίου· ἰσοπύραμα δ' ὑπὸ σφίσι χηλαὶ ἔχουσιν.
Αὐτὰρ ὁ δεξιτερῷ αἰεὶ τεμνύοντι ἔοικεν,
Ἀντία δινωτοῖο ἡνιοχείου. ὃ δέ οἱ ἀορὶξ
Ἄλλο μάλ' ἐσφήκωται, ἐλαφρότερον δέ οἱ ἔγχος
Θηλύτερον· ὡς γάρ μιν ἀοσσητῆρα ἐπέφημίξαντο.

Δήϊς δ' ἄστρον) Ὁ κένταυρος δυσὶ ζωδίοις ὑποκέκλιται. τὰ μὲν γὰρ ἀνδρὶ ἔοικεν αὐτῷ, ὑπὸ τῷ σκορπίῳ κεῖται· τὰ δὲ ἵππῳ παραπλήσια, ὑπὸ τοὺς χηλάς. αὐτὸν μὲν οὖν Ἑρμιππος Χείρωνά φησιν εἶναι· τὸ δὲ ἡνιόχειον, σύμβολον ἥρας. τὸ ἡνιόχειον, ☾ Πηλέως γάμου σημεῖον. ὁ δὲ Χείρων ἐν τῷ ἀσπαλιεῖ κρατικήσας, δικαιοσύνῃ σωθεὶς ☾ παιδεύσας Ἀσκληπιὸν τὸν ἰητῆρα Ἀπόλλωνος, ☾ Ἀχιλλέα τὸν Πηλέως τῷ ἰατρικῷ, καὶ Ἰάσονα, ὡς ἡμῖν κατηστέρισται. τὸ δὲ ἐσφήκωται, δυσὶ πόδαις ἀόρατος ☾ ἀσφαλῶς ἐφήλκται, ἐρηρεῖσται. Ἀντία δινωτοῖο) Ἐναντία σωιέλαβε σῶμά τι ἀδιάρθρωτον, ὃ καὶ ὑπὸ τῶν ἀρχαίων ἡνίον ὠνομάσθη. Ἄλλο μάλ' ἐσφήκωται) Τὸ λέγειν, ἄλλο ἡνίον, ἐ ὡς αὐτὸν τὸν κένταυρον ἀντιδιέστελλεν· ἄτοπον γάρ, ἡνίον λέγειν τὸν κένταυρον χείρονα, πάντων κενταύρων λογιώτατον καὶ δικαιότατον· ἀλλὰ ὡς ἀντιδιαστολὴ τοῦ σκορπίου, ὃς ὑπέρκειται τῷ κενταύρῳ, τὸ ἄλλο ἡνίον εἶπεν· ἄμεινον γὰρ ὕπως ἀκοῦσαι.

Ἀλλ' ἐπὶ γάρ τε καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον,
Ὑδρίῃ μὲν καλέουσι βοῒ, ζώοντι ἐοικὸς
Ἡνιοχῆς εἰλαφρῆ· καὶ οἱ κεφαλὴ ὑπὸ μέσσον
Καρκίνου ἵκανε· πετείρη δ' ὑπὸ σῶμα λέοντος·

Οὐρὴ

Οὐρὴ δ' κρέμα) ὑπὲρ αὐτὰ κενταύρου.
Μέσση δ' ἀστέρι κρητὴρ· πυμάτη δ' ἐπίκειται)
Εἴδωλον κόρακος, ἀστέρι νώτου ἐοικός.

Περαιόθεν) Περαίω λέγει τῷ ἀνατολικῷ. καὶ Ὅμηρος, Νύκτα μὲν περᾶσαι δολιχήν. λέγεται δὲ περαία καὶ ἡ δύσις· πέρα γὰρ τῆς γῆς ἐστι. τὸ δὲ ἕλκεται, σφόδρα κυκλοτερὴς ἐστι· λίαν γὰρ καὶ πάνυ ἐπιμήκισεν ὑπερβαλὼν ἡ ὕδρα, ὡς τεσσάρων ζῳδίων μοίρας ἐπέχουσα, τοῦ τε κορυφίου, καὶ τοῦ λέοντος, καὶ τῆς παρθένου· τοῦτο γὰρ τὸ ζῷον οἱ ἕλληνες ὕδραν ἐκάλεσαν, ὅθεν Ἡρακλῆς κατηγωνίσατο. οἱ μέντοι αἰγύπτιοι νεῖλον εἶναι τὸ ὕδωρ τοῦτο λέγουσι, καὶ λόγους πιθανοὺς προφέρουσιν· ἡ μὲν κεφαλὴ δὲ ζῳδίου ἐστὶ πρὸ τοῦ ἱεροῦ μοῖραν τοῦ κορυφίου, πρὸ τοῦ ἐπιφυλλίδα, ὃς ἐστι καλῶ ῥωμαϊκῶς αὐγουστος, ὅτε τὸ μεσοπάτον ἐστὶ τοῦ νείλου ἀναβάσεως. τὰ δὲ πλοῦτια αὐτοῦ πρὸ τοῦ παρθένου πρὸ τοῦ λεοντος, ὅς ἐστι σεπτέμβριος, ὅτε καὶ τὰ πλούτια εἰσὶ τῆς τοῦ νείλου ἀναβάσεως. ἡ δὲ ἕρμα αὐτοῦ, πρὸ τοῦ κεφαλαίου ὀφείλει εἶναι τοῦ κενταύρου, ἵνα καὶ ὑπὸ τοὺς χηλὰς ᾖ τὸ τέλος αὐτοῦ· τὸ γὰρ φανὲν πάντα ὁ νεῖλος ὅς ἐστι κατὰ ῥωμαίους ὀκτώβριος. ἄλλως τε καὶ ὁ κόραξ ἐπὶ τοῦ ἕρματος αὐτοῦ, τοὺμφανὲς ἡμῖν παρίστησι· ὅτε τὸ μὲν χροιᾶς αὐτοῦ δηλονότι τοῦ κόρακος μελανούσης, νοεῖται ὅτι τότε ἀφανὴς γίνεται ὁ νεῖλος. καὶ ὁ κρατὴρ δὲ, οἰκεῖος τῇ γῇ. Εἴδωλον κόρακος) Τινὲς φασι τὸν κόρακα θεράποντα Ἀπόλλωνος ὄντα, ὑπὸ αὐτοῦ πεμφθῆναι, ἀποντῶν χάριν, ἐκ πηγῆς κρήνης κομιοῦντα καθαρὸν ὕδωρ ὁ κρατήρ. ἰδόντα δὲ συκῆν ὀλύνθους ἔχουσαν, ἀναμεῖναι μέχρι πεπανθῶσι. φαγόντα δὲ οὕτω, καὶ τὸ ἀμφίτομα σωθήσαντα, ἁρπάσαντά τι ὕδραν ἐκ πηγῆς, ὁμοῦ τῷ κρατῆρι φέρειν, καὶ λέγειν ὡς διεκωλύετο ὑδροῦσεσθαι ὑπ' αὐτῆς. Ἀπόλλωνα δὲ γνόντα τὸ ἀληθὲς, εἰς ὄρνεον αὐτὸν μεταμορφῶσαι, καὶ ποιῆσαι δίψαν τοῦ τῷ ἀκμῇ τῆς ὀπώρας.

Ναὶ μὴν καὶ τοξικῶν διδύμοις ὑπὸ καλὸ φα-
Ταῦτά κε δηήσαιο, περχομένων σὺν αὐτῶν, (εἰνῶ.
Ἐξείης παλίωξις· τὰ γὰρ τ' πρόσω μάλ' αὖτως
Οὐρανῷ ὃν ἀνάρρηεν ἀγάλματα νυκτὸς ἰούσης.

Ναὶ μὴν καὶ τοξικῶν) Λοιπός ἐστι τοξικῶν ὑπὸ τοῖς διδύμοις κείμενος. καλεῖται δὲ οὕτως, ἐπειδὴ τοῦ κυνὸς ἐώαν ποιεῖται ἀναγραφὴν, ἐν τῇ δὶ ἑλκάδος κλίματι, ὅπερ ἐστὶ τοῦ κυνὸς ἀνατολικώτερός ἐστιν. ἀστέρων δέ ἐστι δέκα λαμπρῶν ἕτερος, ὧν εἷς ὁμωνύμως τοξικῶν, ἕτερος δὲ τοῦ μεγάλου κυνός ἐστιν. ὠρίωνος δὲ λέγεται κύων, ἐπειδὴ φιλοκυνήγης

κύνηγον λῶ, διὸ ἐκ ταύτης αὐτὸν ἀφιστᾶσι τὰ σημεῖα· ἐκ γὰρ ἀρκτούρου ὀρθὸς, ἐκ θηρία παρ' αὐτόν.

Ταῦτά κε θηήσαιο) Πληρώσας τὸ περὶ τῆς ἀστροθεσίας, ἐπιφέρει λέγων, ταῦτα τὰ θεωρήματα θεωρήσας, τὴν συναυτῶν ἀτυφοσύνην, ἐφεξῆς κείμενα, καὶ κατὰ τάξιν τὰς αὐτὰς ὥρας ἀνατέλλοντα καὶ δύνοντα· ἐκ γὰρ παρθένου ἀεὶ τὸν αὐτὸν χρόνον ἀνατέλλει καὶ δύνει, καὶ ὁ λέων ὡσαύτως, καὶ τὰ ἄλλα πάντα τὰ ἀπλανῆ. τοῦτο δὲ εἶπε πρὸς τοὺς πλανήτας, ὅτι ἀπεικότως ἐκεῖνοι, ἐκ τοῦ αὐτοῦ ἀφεστηκότες ἀεὶ φέρονται. ἐκ δὲ κατὰ τάξιν κείμενά εἰσιν· οἱ γὰρ πλάνητες οὐκ ἔχουσι τάξιν τῆς θέσεως διαστήματος, ἀλλὰ πλανώμενοι ἐκ μετανάστας εἰσίν. τὸ δὲ παλίνορθον, πάλιν τὰς ὥρας, ἢ πάλιν κατὰ τὰς ὥρας ἀνατέλλοντα ἐκ δύνοντα.

Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες, οὐδὲν ὁμοῖοι
Πάντοθεν εἰδώλων δυοκαίδεκα διηνύουσαι.
Οὐκ ἀνὰ ἔτ' εἰς ἄλλους ὁρέων ἐπιτεκμήραο
Κείνων, ἧχι κέονται, ἐπὶ πάντας μετάσσαι.
Μακροὶ γὰρ σφέων εἰσὶν ἑλισσομένων ἀταυροὶ,
Μακρὰ δὲ σήματα κεῖνα ἀπόστροφα εἰς ἑὸν ἴόντων·
Οὐκέτι θαρσαλέος κείνων ἐγὼ, ἀρκίος εἰμὶ
Ἀπλανέων τά τε κύκλα τάτ' ἀθρέει σήματ' ἰδεῖν.

Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντε) Περιττὸν τοῦ τῶν ἀπλανῶν, μεταβαίνει ἐπὶ τὸν τῶν πλανήτων λόγον. πέντε δὲ ζώους φησὶν εἶναι, δηλονότι ὑπεξαιρούμενος ἡλίου καὶ σελήνης· ἔστι γὰρ οἱ δύο τὸ ἀναπαλιν πορεύονται, ἀπὸ καρκίνου ἐπὶ λέοντα, καὶ ἀπὸ λέοντος ἐπὶ παρθένον· οἱ δὲ ἄλλοι ἁπλῶς φέρονται, ὅτε μὲν τοῦ ἡλίου προθαίνοντες ῥᾳδίως, ὅτε δὲ ὀπισθεν ἀπομένοντες. ὁ δὲ λόγος, οἱ δὲ ἄλλοι πέντε πλάνητες ἐπιμὶξ διηνύουσι), ἀντὶ τοῦ ἀναμεμιγμένως, οὐκ ὄντες ὅμοιοι ταῖς προτέροις ἀπλανέσι· λέγει δὲ τὰ ιϛ. ζωδίων πλανῶνται. Πάντοθεν εἰδώλων) Πάντοθεν φέρονται ἡρμοσμένῳ μὴ ἔχοντες τάξιν· ἔχει γάρ ὁ ὑρανὸς ζ. ζώνας, οὐκ ἐπιψαύουσας ἀλλήλων ζωδιακοῦ· ὧν τὴν μὲν προτέραν ἔχει ὁ κρόνος, τὴν δὲ δευτέραν ὁ ζεύς, τὴν δὲ τρίτην ὁ ἄρης, τὴν δὲ τετάρτην ὁ ἥλιος, τὴν δὲ πέμπτην ἡ ἀφροδίτη, τὴν δὲ ἕκτην ὁ ἑρμῆς, τὴν δὲ ἑβδόμην ἡ σελήνη· ὁ μὲν δὴ ζωδιακὸς κύκλος ἀνώτερός ἐστι πάντων· αὐτοῦ δὲ εἰς ἰδίους κύκλους κεῖνται, ὑποκάτω δέ εἰσι τοῦ ζωδιακοῦ κύκλου, ζαπεινότεροι τοῦ ἀπλανοῦς· ἄλλοι δὲ ἐν ἄλλῳ ὑψηλοτέρῳ κατὰ τὸν ζωδιακὸν κύκλον πλανῶνται), ἐκτρεπόμενοι τοῦ ἴσου ὁδοῦ, διὰ ἧς τὸν ἥλιον ἐπιοῦσιν φερόμενον.

νον. καὶ ὁ μὲν κρόνος εἰς ἔνιαυτὸν ζῴδιον ποιεῖ σὺν αὐτοὺς δύο ☾ μιλίους ἐξ, μείζων δὲ αὐτῆς ἡ ἀφροδίτη ☾ ἀνύει πάντα τὸν ζωδιακὸν κύκλον δι' ἐτῶν λ'. ὁ δὲ ζεὺς, δι' ἐτῶν ιβ'. ὁ δὲ ἄρης εἰς ἔνιαυτὸν ζῴδιον ἡμέρας οδ'. ποιεῖ, καὶ πάντα τὸν κύκλον ἀνύει εἰς δύο σὺν αὐτοὺς καὶ μιλίους ε'. ὁ δὲ ἥλιος εἰς ἔνιαυτὸν ζῴδιον ποιεῖ μιλίους, ☾ τὸν κύκλον εἰς σὺν αὐτὸν πληροῖ· ἡ δὲ Αφροδίτη, καθ' ἕνας μὲν σὺν αὐσιαίαν, καθ' ἃς δὲ σὺν ὁκλωμιλιαίαν τὸν ἀφέλιον ποιεῖ. ὁ δὲ ἑρμῆς εἰς ἓξ μιλίους καὶ ἡμέρας ἓξ τὸν ἴδιον κύκλον ἀπαρτίζει· ἡ δὲ σελήνη εἰς ἕνιαυτὸν ζῴδιον δύο ἥμισυ ἡμέρας ποιεῖ, ἐπειδὴ καὶ πάντων βραχύτερός ἐστιν αὐτῆς ὁ κύκλος, ὡς καὶ τὸν πάντα ζωδιακὸν ἀνύειν ἐνὶ μιλίῳ. αὕτη μὲν ἡ τῶν πλανήτων διακόσμησις. αὐτὴ δὲ ἡ σελήνη καθ' ἑαυτὴν ἄφαντος ἡμῖν ἐστιν, ὑπὸ δὲ τοῦ ἡλίου φωτιζομένη φανερὰ ἡμῖν γίνεται, καὶ ὅτε μὲν αὐτῆς πλησιάζει, τότε καὶ φαίνει, ὅτε δὲ αὐτῆς χωρίζεται, κατ' ὀλίγον ἀποκρύπτεται, καὶ πάλιν ὅσον πλησιάζει φαίνεται. διὸ καὶ ὑπὸ τῶν τραγικῶν ἡλίου θυγατηρ λέγεται, ἐπειδὴ τὸ φῶς ἐξ αὐτοῦ ἔχει. Οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρῶν) Ἐπειδὴ αὐτὸν τὸν διδασκαλίαν τῶν φαινομένων ἐποιήσατο ἀπάντων, καὶ ἀπὸ μὲν βοώτου τὸν παρθένον, ἀπὸ δὲ τοῦ ἄρκτου καὶ τοῦ δράκοντος τὰ ὑγιάσας, καὶ δι' ὅλου ἀπὸ τῶν παρακειμένων καὶ προεγνωσμένων τὰ ἑξῆς ἐδίδαξε, νῦν φησιν, ὅτι περὶ τῶν πλανήτων οὐκ ἔστι τοῦτο εἰπεῖν· ἰδεῖ γὰρ εἰς ἀλλήλους ἀφορῶν, καὶ τοὺς πλησίον αὐτῶν, ἐκείνους ἂν δύρεις, ποῦ ποτὲ κέινται, ἐπειδὴ πάντες μετανάσται, καὶ οὐκ ἐν ταὐτῷ κείμενοι· ὥστε οὐκ ἂν αὐτοὺς σημειώσαιτό τις ἐκ λιν☾ τῶν ἀπλανῶν, ὡς τῇ κεφαλῇ τῆς ἀνδρομέδης τὸ ἵππον σημειούμεθα, καὶ τοῖς ποσὶ τὸ πρόσω· ἡ γὰρ τῶν μὴ φερόντων εἰσὶν, ἀλλὰ ἀνυπόφερτον τῷ κόσμῳ. Μακροὶ δὲ σφίσιν εἰσὶ) Μακροὶ δὲ καὶ πολλοὶ κυκλουμένων αὐτῶν σύναυτοὶ ἔσονται, καὶ σφόδρα πολὺς ὁ χρόνος λόγος, καὶ μακρὸν τὸ τελούμενον ἐπὶ πολὺ ἀφορᾶν εἰς ἓν αὐτῶν ἰόντων, ἀντὶ τοῦ μακροῦ χρόνου καθ' ὃν συμφερομένων εἰς ταὐτὸν συνερχομένων, οὐ δυνηκένας αὐτοὺς πάμπολυ. ἀμφίβολον δὲ τὸ εἰρημένον ὑπὸ τῶν φυσικῶν φιλοσόφων ☾ μαθηματικῶν, ὧν ὁ δοκιμώτερος Πλάτων ἐκεῖνον καὶ εἶπον μέγαν σύναυτὸν, ὅταν συνέρχωνται οἱ ζ'. ὕτοι ἀστέρες σὺν ἑνὶ ζῳδίῳ ὑπὸ τὸν αὐτὸν μῆναν· τότε καὶ συμπέρασμα τῶν οἰκουμένης γίνεται, ☾ ἀπόλλυται ὕτος ὁ κόσμος. συνελθόντων αὐτῶν, καὶ πάλιν κινηθέντων ὑπὸ τοῦ αὐτοῦ, ἀναγέωσιν καὶ κίνησιν εἶναι κόσμου ἄλλου ἔφασαν· ἐνιαύσιον δὲ ☾ δοῦρον γίνεται σὺν μυριάσι πολλῶν σύναυτῶν. ὅταν οὖν ἀπὸ τοῦ αὐτοῦ σημείου, ἐπὶ τὸ αὐτὸ σημεῖον καταστήσωσιν οἱ πάντες, σύναυτός ἐστιν· ὅταν καὶ ἀφ' οὗ τις ἄρξηται σημείου ἡ χρόνου, ἐπὶ τὸ αὐτὸ πάλιν ἔλθῃ, σύναυτός ἐστιν· Οὐκέτι θαρσαλέος κείνων ἐγὼ) Μέχρι τούτου τοιοῦτον· εἶτ' ἀπ' ἄλλης ἀρχῆς, τὸ, ἄρκτον εἶλον, ἀναγνωστέον, ἵν' ᾖ σὺν ἂν δύθαρσὴς περὶ τῶν πλανήτων εἰπεῖν· δέκομαι δὲ ἂν εἰς μοι τὸ περὶ τῶν ἀπλανῶν μάθημα. ἡμιόλιον οὖν, φησιν, αὐτάρκης καὶ τῶν ἀπλανῶν τὰς περιτροπάς, ☾ περιφοράς, ☾ τὰ σὺν ἑκάστῳ σημεῖα εἰπεῖν· αἱ πᾶσι δὲ τούτων, ἢ τῶν περὶ αὐτὰ γινομένων ποικιλίαι, συζυγίαι, προηγήσεις, ὑπολείψεις, ἐπιβολαί ἑωθιναί τε καὶ ἑσπέριοι, καὶ τὰ τούτων ἀδελφά· φαίνονται δὲ ἀνώμαλοι, καὶ τοῖς χρόνοις ἀνόμοιοι πρὸς ἀλλήλους· καὶ ἴσως ἐδὲ προηκριβώσαντο περὶ τούτων, ἐπεὶ ἐδὲ ῥᾴδιόν ἐστι τὸ περὶ τούτων θεῖ-

νον

καὶ εἰς τοὐπίσω· ἐχώρει γὰρ ἂν εἰς ἀριθμοὺς καὶ μέτρα, καὶ λεπτὰ, καὶ μόρια· ὅταν δὲ τῶν πλανήτων ἡ δυνατόν ἐστι τὰς κύκλους εἰπεῖν, δῆλον ὅτι ἐν τοῖς αὐτοῖς σημεῖα· ὅθεν καὶ εἰκότως ἐπιτιμῶσι τῷ Ἀρχύτᾳ ἀδυναμίαν, φήσαντι ἀδύνατον εἶναι περὶ τῶν λέγειν, ἃ παῖζα πλῶς περιέμενε περὶ τῶν φαινομένων εἰπεῖν. ἡ δὲ φύσις πάντα ἐκ τούτων, καὶ ἐστι κοινὸν, τά τε κύκλα καὶ τὰ σημεῖα εἰπεῖν, ἵν' ᾖ, τῶν μὲν πλανήτων τὰ σημεῖα καὶ τὰ κύκλα, ἐν ἡμέρᾳ εἰπεῖν· ἐκείνων δὲ, τυτέστι τῶν ἀπλανῶν, ἄρκτος εἰμι.

Ἠτοι μὲν, παὶ τε κεῖτ' ἐναλίγκια δινωτῖσι
Τέσσαρα, τῶν κε μάλιστα ποθὴ ὀφελός τε γένοιτο
Μέτρα πεισκεπόνοις πλανωμένων ἑαυτῶν.
Σήματα δ' οὐ μάλα πᾶσιν ὑπερφιάλως πεφύκει·
Πολλά τε, καὶ χαλεπὸν πάντη συνεργμένα πάντα.
Αὐτοὶ δ' ἀπλανέες καὶ ἀρηρότες ἀλλήλοισι
Πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρουσι.

ἀνομένων

Ἠτοι μὲν, ἢ γε κεῖται) Διελέξας περὶ τῶν φαινομένων, ἦλθε πάλιν ἐπὶ τὴν τῶν κύκλων διδασκαλίαν, οἵ εἰσιν αὐτοῖς καθ' αὑτοὺς ἀφανεῖς εἰσιν ἡμῖν, πλὴν τοῦ ζαλαξίου, ὅπ ἐστὶ νεφελώδης· ἀπὸ τῶν ἐπιψαυόντων δὲ αὐτῶν ζωδίων, ποιεῖται τὴν κατάληψιν. ποιεῖται δὲ λόγον περὶ τῶν τεσσάρων κύκλων, τοῦ θερινοῦ τροπικοῦ, καὶ ἰσημερινοῦ, καὶ τοῦ χειμερινοῦ, καὶ τοῦ ζωδιακοῦ. ἔστι γὰρ εἷς μάλιστα βιωφελὴς· ὁ δὲ ἀρκτικὸς, καὶ ἀνταρκτικὸς, καὶ ὁ ζαλαξίας, ἀδήμιον τροπὴν ὠφέλειαν ἔχουσι. καὶ ὁ μὲν θερινὸς τροπικὸς, ὅτι ἐν καρκίνῳ γινόμενος ὁ ἥλιος, ἄρχεται τὸ θέρος ποιεῖν· ὁ δὲ ἰσημερινὸς, ὅτι δύο γίνονται ἰσημερίαι, μία μὲν ἐαρινὴ, ἐν τῷ κριῷ, φαινόμενος, ὃς ἐστι κατὰ ῥωμαίους μάρτιος, ὅτε περιήκειν λαμβάνουσιν αἱ ἡμέραι· ἑτέρα δὲ, χειμερινὴ, ἐν ταῖς χηλαῖς ἐν τῷ ζυγῷ τῷ φαινομένῳ, ὃς ἐστιν ὀκτώβριος, ὅτε αἱ νύκτες περιήκειν λαμβάνουσιν· ὁ δὲ χειμερινὸς, ὅτε ἐν αἰγοκέρωτι ἄρχεται τὸν χειμῶνα ποιεῖν· ὁ δὲ ζωδιακὸς, ὅτι διαπορθμόνομος τούτου ὁ ἥλιος συναυξήσεως καὶ χειμῶνός τε καὶ θέρους αἴτιος γίνεται. τὸ δὲ, ἐναλίγκια δινωτῖσιν, ἤγουν ὅμοια ὅτε περιφερέσιν, οἱονεὶ τροχοειδῆ, κυκλοτερῆ. Τῶν κε μάλιστα) Τέσσαρων τῶν τεσσάρων κύκλων φησὶ, ποθὴ χρήσιμος ἂν ὠφέλεια ποθὴ μᾶλλον, ὅτι δεῖ εἰδέναι ποίου ἐπιψαύσας ποίαν τροπὴν ποιεῖ ὠφέλεια δὲ, ὅτι τοῖς τεχνίταις δικαίως ἐπιδαίλομος, ἢ ἐν τῇ γεωργίᾳ, ἢ ἐν τῷ πλοῦ. Μέτρα) Ἠγουν τοὺς ἕτερος τροπὰς ἐν περιόδοις περιεσκοπουμένους, ἀνομάτων τῶν ἑαυτῶν· ἐκάστη γὰρ τροπὴ ἡ περίοδος. Σήματα δ' οὐ μάλα) Ἐπεὶ δὲ ἤτοι καθ' ἑαυτοὺς ἀόρατοί εἰσι, καὶ ἐ καταλαμβάνονται, λέγει τοῦτό φησιν, ὅτι σημεῖα ἐκάστῃ ἐπιρρήδην ἐν δυνάμῃ

μθμα ληφθλῶαι ὰν δ' στιόεγλυς & πανταχόθεν συνημμένα κεῖν). ἐρεῖ δὲ ὰ σημεῖά κατωτέρω. λέγ δὲ σήμαπι αὐτὺς τὺς ἀστέρας τ κύκλων, οἷ ὧν χράφον) σαφῶς, ὧν τὰ μὲν, πρὶ αὐτύς· τὰ δὲ, ἐπ' αὐτύς· τὰ δὲ, στιόεγλυς. στιεργμένα δὲ, ἀντὶ τ στιηρμθσμένα. Αὐτοὶ δ' ἀπλανέες) Αὐτοὶ δὲ οἱ κύκλοι ἀπλανεῖς & παρηρμθσμένοι ἀλλήλοις εἰσὶν, εἴ γε & παραλλήλως αὐτὺς εἰρήκασιν εἶναι, ἀρηρότες ουὐ, ἤγουν ἠρμθσμένοι ἀλλήλοις κατὰ & μέγθος, πολλῷ ἀχὶ πάντες ἴσοι εἰσὶν, ἀλλ' ὁ μὲ ἰσημερινὸς, τῷ ζωδιακῷ· ἴσος. ἦ μεσάζυσι τὸ σφαῖραν. ὁ δὲ θερινὸς τροπικὸς, τῷ χμεριν῵· & ὅπ τ῵τό ἐσιν, ἐπιφέρ & αὐτὸς, ἀπὲρ μέτρ῵ γε δύω δυσὶν ἀνπφέρον). Ἵνες δὲ ἕτως ἤκυσαν τὸ ἀνπφέρον), ἀντὶ τ῵ ἐναντιουῦται· & γὰ ἀνπφερίζειν, τὸ ἐναντιῦσθαι, ἵν' ἕτως ἀκούωμθ, ὅπ ὁ ζωδιακὸς & ὁ θερινὸς ἐναντίοι εἰσίν· ὁ μὲ γὰ ζωδιακὸς, μείζων, ὁ δὲ θερινὸς, ἐλάσσων· κὴ πάλιν, ὁ μὲ ἰσημερινὸς, μείζων, ὁ δὲ χμεριν῵, ἐλάσσων.

Εἴποτέ τοι νυκτὸς καθαρῆς ὅτε πωλέας ἀγαυοὺς
Ἀστέρας ἀμφιφόῃσι διπλείκυσται ὑράνιη νύξ.
Οὐδέ τις ἀδρομέων φέρεται ˣ νεόμηνι σελήνῃ,
Ἀλλὰ τάγε κνέφαος δυσφαίνεται ὀξέα πολλά·
Εἴποτέ τοι, τῆμος ὃ πρὸς φρένας ἵκετο θαῦμα,
Σκεψαμένῳ πάϊτη κεκεασμένον ἀμφὶ κύκλῳ
Οὐρανὸν· εἰ καὶ ἴις τῆθ' ὑποσσὰς ἄλλος ἐδάξε,
Κῆνο πρὸς γλαυκὴς θρασὺν, γάλα μιν καλέουσι.
Τῷ δήτοι χρόιῃ μὲν ἀλίγκιος ὑκέτι κύκλος
Δίνηται· τὰ δ' μέτρα τόσοι πυρῶν φορ ἐόντων
Οἱ δύο· τοὶ δ' ὀφέων μὲν ἀμείνονες ἐπλίαστονται.

ˣ διχόμηνι

Εἴποτέ τοι) Εἴποτέ σοι ἀνεφέλου νυκτὸς ὔσης· τότε γὰ τοὺς ἀστέρας ἀκριβέστερον ἐπιδείκνυται ἡ νύξ· & ὀδεὶς τ ἀστέρων ἀδρανὴς κατὰ τὸ φῶς ὑπὸ τῆς ἡλίου προφορᾶς, ἀλλὰ πᾶς φαίνε). εἴποτε οὖν σοι στιλικαῦται ἐκπλῆξις ἦλθε & θαυμασμὸς, καταναόησαι τ ὑρανὸν παντα χόθεν ἠπλωμθόν σφαιροειδῶς & προφερὰς, ἢ κὴ ἄλλός τις περιεργικὼς ἐδάξεν ὑπὲρ τὸ προβλεπτον, ὅπως κηλῆσι χάλα. λέγ δὲ τ χαλαξίαν κύκλον· οὕτω γὰ μάλ τ ἄλλων ὄψ κηλητικὸς, ἀφ' τῶ ὑπ' αὐτῷ ὡσπρ νεφελώδη πίλησιν. ἴσθι ὅτι τότε τῷ χαλαξίᾳ ὁμόζυγος ἄλλος ὀδεὶς κύκλος ἐσί· τί οὖν, ὅτε πάντως ἀχαυὲς, ἤτοι ὅτε τὰ ὑρανία ὁρᾶν)

ἢ ἐφ' ἧ μάλιστα ἐμφανὴς ὁ οὐρανὸς, ἢ πάλα κατὰ τὸ μεσονύκλιον· τότε γὰρ ἀκριβέστατα μάλιστα τὰ ἄστρα ὀξέα φαντάσματα. τὸ δὲ ἀδρανέων, ἤγουν ὧν τὸ φῶτος τῆς ἡλίου ἀδρανιζόμενον. ὃ δὲ διχόμηνι, χαίρεται καὶ νεόμηνι, ἤγουν τῇ νέᾳ καὶ πρώτῃ· ὅτι σωδὸν φαινομένη, ἐπειδὴ τότε ἐμφανῆ εἰσι τὰ ἄστρα, μὴ καταυγαζόμενα ὑπὸ τοῦ σελήνιακοῦ φωτὸς πάντη γε κεκαυμένα. εἰσὶν ὧν ἀστελλὼν νυκτὸς ἔσης, θελήσῃς τὴν γαλαξίαν σκέψασθαι, ὧ πᾶς διχομηνίτης οὐρανός· ἔστι γὰρ τὸ μεσόν τῶν κύκλων· φανήσεταί σοι ὁμοίως γάλακτι· ἔστι γὰρ οὕτως λευκὸς λοξόμενος ἀπὸ τοῦ τροπικοῦ, καὶ μικρὸν ὑπερπίπτων αὐτὸς, τέμνει ζωδιακὸν κύκλον κατὰ δίδυμους καὶ τοξότην. εἴρηται δὲ οὕτω, ἀπὸ τοῦ λευκαῖς νεφέλαις σημαίνειν τὴν περιγραφὴν αὐτοῦ. Ἐρατοσθένης δέ φησι, μυθικῶς αὐτὸν διηγούμενος, ὑπὸ τῆς Ἥρας γάλακτος γεγονέναι ἐκχυθέντος. ἔκκεισο γὰρ παρὰ τοῦ Ἑρμοῦ, ὅτι οὐκ ἰδιός ἐστι. Θεάσῃ οὖν ἐκεῖνο τὸ περιγλωσσὸν, τὸ καλούμενον γάλα, ὡσεὶ κύκλῳ τὴν οὐρανὸν περιλαμβάνον· καὶ ἡ μὲν ζωδιακὸς μᾶλλον περιέλαυνε τὸν οὐρανόν· ὁ μὲν γὰρ ζωδιακὸς μίσγει τὴν τροπικὴν κατάσιν· ὁ δὲ, καὶ τὴν λοιπῶν ἁπάντων ἐπιψαύει. Τῷ δὲ χειμῶνι) Νοῦντα μὲν καὶ ἄλλοι κύκλοι ἀπερογοι, ἐφ' ἑκάστου τῶν ἀστέρων τὴν περιφορὰν ποιούμενοι, ὡσαύτως πλοι τὰς αὐτὰς τοῦ κόσμου πόλας κείμενοι· ἀπερογοι δὲ εἰσὶ οἱ μὲν τὴν πόλιν ὁρῶντες ἀεὶ τοὺς παραλλήλους καλυπτόμενοι κύκλους· ἀπερογοι δὲ, καὶ οἱ μήτε παραλλήλους, μήτε μὲν τὴν πόλιν, ἀλλὰ λοξοὶ, πεπαρμένοι δὲ οὐ τοῖς ἀπερογοις κύκλοις· ἀπερογοι δὲ, ὅτι τὸ μέρος αὐτῶν ἀφαιρεῖται, καὶ ἔστιν κατὰ γλῶ. ὁ δὲ Ἄρατος τούτων οὐκ ἐμνήσθη ἑδενός. ὁ δὲ νῦς, ἤτοι δὲ τὴν γαλαξίαν ἑδεὶς ἄλλων ἐστὶ τὴν χροιὰν ὅμοιον· διὸ καὶ οἱ ἄλλοι ἀφανεῖς, αὐτὸς δὲ φανερός ἐστι. τὸ δὲ διηνεκὲς, συμπεριφέρεται τῷ οὐρανῷ, τῇ δὲ γαλαξίᾳ, οἱ δύο τῶν εἰρημένων τροπάρων ἰσόμοιροί εἰσιν, ὅ, τε ζωδιακὸς, καὶ ὁ ἰσημερινός· καὶ γὰρ ἐστι μέγιστοι· οἱ δὲ λοιποὶ τούτων μείονες, ὅ, τε χειμερινὸς καὶ θερινὸς τροπικός.

Τῶν, ὁ μὲν ἐγγύθεν ὅστις κατερχομένου βορέαο·
Ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ διδύμων φορέονται·
Ἐν δὲ τὰ γουνάτα κεῖται ἀρηρότος ἰωλήιο·
Λαιὴ γὰρ χειμὴν καὶ ἀειστερὲς ὦμος ἐτώσῃ αὐδῇ
Περσέος· ἀνδρομέδης γὰρ μέσην ἀγκῶνος ὕπερθεν
Δεξιτερὴν ἐπέχει· τὸ μὲν οἱ θέναρ ὑψόθι κεῖται,
Αὐτὸ τερον βορέῳ γε, νότῳ δ' ὑπικέκλιται ἀγκών
Ὅπλαί δ' ἱππείοις καὶ ὑπαύχενον ὀρνίθεσσιν

Ακρη

Ακρη στιὼ κεφαλῆ, καλοίτ' ὀφιούχοι ὦμοι,
Αὐτοὶ δινεύονται, ἑλιχθάμενοι περὶ κύκλον.
Η δ' ὀλίζων φέρεται νοτιωτέρη, ὑδ' ὑπερθὲ
Παρθένος· ἀλλὰ λέων τε καρκίνος, οἱ μὲν ἄρ' ἄμφω
Εξείης κέαται βεβολημένοι· αὐτὰρ ὁ κύκλος,
Τὸν μὲν ὑπὸ ζῆλος τε γαστέρα, μέχρι πρὸ αἰδῶ
Τέμνει· τὸν δὲ, διπλοεχέως ὑπένερθε χελεύς
Καρκίνον, ἧχι μάλιστα διχαιόμενόν κε νοήσης
Ορζόν, ἵν' ὀφθαλμοὶ κύκλοι ἑκάτερθεν ἴσιεν.
Τῶ μὲν, ὅσον τε μάλιστα δι' ἐκτὸς μετζηθέντος,
Πέντε μὲν ἕνδια φρέφεται καθ' ὑπέρτατα γαίης·
Τὰ τρία δ' ἐν περάτῃ θόρεος ἰοὶ σύτροπαί εἰσιν·
Αλλ' ὁ μὲν, ὃ βορέῳ πελάζει καρκίνον ἐσπείκται.

Τῶν ὁ μὲν ἐξιόθεν) Λοιπὸν ἑξῆς διδασκαλίαν ποιεῖται, ἀκολούθως πάλιν λαβὼν τὸν βορείου κύκλου· καί φησιν, ὁ μὲν θερινὸς, πλησίον ἐστὶ τοῦ βορέου. Εν δὲ οἱ ἀμφότεραι) Εν αὐτῷ δὴ καὶ τῷ ἡνιόχου τὰ ζεύγατα. ἀρηρότος δὲ, ἤγουν σωμηρισμένου καὶ συμπεφυκότος τῷ ταύρῳ. Οπλαὶ δ' ἵππειοι) Αἱ δὲ ἵπποι ὁπλαὶ, ἐστὶ τοῦ ὄρνιθος αὐχὴν, σὺν αὐτῇ τῇ ἄκρᾳ κεφαλῇ, ἐν οἱ λαμπροὶ τοῦ ὀφιούχου ὦμοι, περὶ ὃν κύκλον κινοῦνται, πελαζόντες καὶ ἐγκείμενοι. Η δ' ὀλίζων φέρεται) Σημειοῦται, καί φησιν, ἡ δὲ παρθένος ὀλίζων εἰς τὸ νοτιώτερον τοῦ κύκλου φέρεται, καὶ σὺν ἐπιψαύει αὐτῷ, ἀλλ' ὁ λέων ἐστὶ ὁ καρκίνος ἐπιψαύει αὐτῷ· ὁ γὰρ κύκλος, τὸ μὲν λείπει ὑπὸ τὸ ζῆλος, καὶ τὴν γαστέρα, καὶ μέχρι τοῦ αἰδοίου τέμνει· τὸ δὲ καρκίνον δι' ὅλου τέμνει, ἄχρι τοῦ νοτιαίου ὁράκος· ὑπὸ γὰρ τὰ ζῴδια ἐστὶν ὁ κύκλος· αὐτὰ γὰρ ὑπέρκειται) ὑποξηνεν. Ηχι μάλιστα) Οπου μάλιστα ἐν τούτῳ τῷ ζῳδίῳ γινωσκόμενος, καὶ διχῶς τεμνόμενον θεωρήσῃς τὸ καρκίνον· ὀρθῶς καὶ σφόδρα καλῶς. Πέντε μὲν ἕνδια φρέφεται) Περὶ τὸ κλίμα τοῦ Ελλησπόντου καὶ Λακεδαίμονος δοκεῖ τὸν τῶν φαινομένων παραγραφεῖαν σωζεῖναι, καὶ ἐστὶ πιθανὸν ἐκεῖσε λαμπρύνειν, ἔνθα καὶ τοὺς λόγους ἐποίησεν. ἀνυπόπλεκτος δὲ τὸ ῥηθὲν αὐτοῦ, Κεῖνα πὰρ κεφαλὴν τῇ νίσσει ἢ χεὶρ ὡς ἄκραι, τυτθὸν ἐπὶ τοῦ δρακοντοῦ φέρει) κύκλου, καθ' ὃ κλίμα ἡ μεγίστη ἡμέρα ὡρῶν δεκατεσσάρων, καὶ τριῶν πεμπτημορίων ὥρας, τυτθὸν καθὸ τὰς Αθήνας καὶ τὴν

τὴν Ἐφεσον κεῖσθαί φασι. Ὁ πόλος ἐξήρτηται μόνος. Τὰ τρία δ' ἐν περάτῃ) Τοῦτο φησὶ τοῦ κύκλου· ἐκ εἶπε τὴν καταλήψεως, τὰ ιβ. ζῴδια ἢ σημεῖα· εἰς ἃ. μεταξὺ δὲ μεμερισμένα. τὰ μὲν πέντε μέρη ὑπέργεια οὐρεσιήσεται, ἐν οἷς ὑψηλὰ κινήματα· τὰ δὲ τρία, ἐν δύσει ὑπόγεια· ἐν δὲ τούτῳ τῷ κύκλῳ τροπαὶ θερειναὶ γίνονται· ἐκ δὲ τούτου ἔστιν ἕτερον σημεῖον· ἥμισυ τὰς νυχθημέρου ὥρας, αἳ εἰσι κδ'. ἐν ᾧ ὁ ἥλιος μερῶν αὐτὸν τὰ πέντε διανεκῶς ὑπέργεια, τὰ δὲ τρία ὑπόγεια. ἀεὶ δὲ μνήσομαι ἕκαστον μέρος, εἰς τρεῖς ὥρας συμπληροῦμενον, οὕτως, γ'. ε'. ιε'. ὥστε εἶναι τὸν θερινὸν ἡμέραν ὡρῶν ιε'. πάλιν τὰ ὑπόγεια μοίρας ἔχοντα τρεῖς, οὕτω, γ'. γ'. θ'. κδ ἔστιν ἡ θερινὴ νὺξ ὡρῶν θ'. τὸ δὲ ἀνάπαλιν ἐπὶ τοῦ χειμῶνος, τὸν μὲν ἡμέραν ὡρῶν θ'. τὸν δὲ νύκτα ιε'. συμβαίνει γίνεσθαι. ἐν δὲ τοῖς ἄλλοις τόποις τοῖς ὀρθικωτέροις, ἥτε θερινὴ ἡμέρα κὴ ἡ χειμερινὴ νὺξ πολλόνων εἰσὶν ὡρῶν ἢ ιε'. ἀφ' ὧν τὸ κὴ πλείους μοίρας τῶν πέντε ὑπέργειους εἶναι· ὅθεν εἰ ἕκαστον ζῴδιον δύο ὥρας ἐπέχει, κὴ ἥτε χειμερινὴ νὺξ, ἥτε θερινὴ ἡμέρα δωδεκάωρος ὀφείλει εἶναι, ὁμοίως ἀφ' ὧν τὰς ἀμφοτέρους ἀνισοφορεῖς, ἀλλαχοῦ μὲν μείζων, ἀλλαχοῦ δὲ ἐλάττων γίνεται). τὸ δὲ ἔνδια, ἡμερινὰ, ὑψηλὰ ὑπὲρ γῆν, ὡσπερ τὸ ἔνδιον καιρὸν τὸν μεσημβρινὸν, εἴγε ἡ μεσημβρία μεσαίτατόν ἐστι πάσης τῆς σφαίρας. Θέρεος δὲ οἱ) Ἐν τῷ θερινῷ κύκλῳ τροπαί εἰσι τοῦ ἡλίου κατὰ λόγον· αἱ γὰρ θερειναὶ τροπαὶ ἐν τῷ καρκίνῳ γίνονται), ἡ. μοῖραν αὐτῆς ὁ ἥλιος ἐπέχων ἐς· ὃ δὴ ζῴδιον ἐν τούτῳ τῷ κύκλῳ ἐστί. μὴ οὖν τὸν ἡ. μοῖραν ὁ καρκίνος, καθάπερ ὁ ἥλιος ἀναλογίαν ἄρχει) γίνεσθαι. κὴ ἀφ' ὧν ὑκέτι ἐπιδώσειν ἡ ἡμέρα, ἀλλ' ὑφαιρεῖ). μαρτυρεῖ δὲ τῷ λόγῳ τούτῳ ἡ ἀφ' ὧν ὡρολογίων σύνταξα. ἡ γὰρ σκιὰ τοῦ γνώμονος μὴ τὸ παραλλάξαι τὸν ἥλιον τὸν ὀρθὸν μοῖραν ὁ καρκίνος, ὑκέτι ἐπεκτείνει), ἀλλ' ἀναπαύεται. τὸ δὲ σύνταξαι, τετάσιν ἐν τῷ ζῳδίῳ τούτῳ τὸ τέλος ὁ ὕψους καταλιμπάνει, ἐν τὸν ἐπὶ τὸ νοτιώτερον τροπὴν ποιεῖται.

Αλλ' ὁ μὲν ἐν βορέῃ) Οὗτος μὲν ἦν, φησιν, ὁ κύκλος ὡς εἴρηται, ἐπὶ τὰ καρκίνου ἐσήρικται. ἐν γὰρ τούτῳ ὁ ἥλιος ὑψέρριζος, ποιεῖ τὸν θερινὸν τροπικὸν ὥραν.

Αλλος δ' αὖ λιόωντι νότῳ μέσον αἰγοκερῆα
Τέμνῃ, καὶ πόδας ὑδροχόου, καὶ κήτεος ὑρίου.
Ἐν δέ οἱ ὄφις λαγωὸς· ἀταρ κυνὸς ὑ μάλα πολλὸν
Αἴνυται, ἀλλ' ὁπόσην ἐπέχῃ ποσὶν· ἐν δέ οἱ ἀργώ,
Καὶ μέγα κενταύριο μεταφρένου· ἐν δέ τε κέν-
Σκορπίος, ἐν δὲ τόξον ἀγαυοῦ ποξότεω.

Τὸν πύματον καθαρὸν περιχλύνος βορέαο

Ες

Εις νότον ἠέλιος φέρεται· τέτραται γόμφω αὐτῆ
Χμέελος· καὶ οἱ, τρία μὲν τετέλεται ὕψος
Τῶν ὀκίω, ἓξ δὲ πέντε κατώρυχα δινεύοντι.

Ἀλλ' ἀντιόωντι) Περὶ τὸ χμεελινοῦ τροπικοῦ ἀμφιλαμβάνει, καὶ φησιν, ἀλλ' δὲ κύκλος ἐν τῷ νότῳ ἀντιόωντι, ἤγουν τῷ ἐξ ἐναντίας τῷ βορέᾳ, ὃς τέμνει τὸν αἰγόκερων· ἐν τούτῳ γὰρ τῷ ζωδίῳ τροπαὶ χμεελιαὶ γίνονται. Ἴνες δὲ ἐναντιόωντι νότου, ἀμαθῶς ἔρραψαν, ἵν' ᾖ μεταλαμβάνοντι τῶν τοῦ νότου πνευμάτων. Ὁμηρος, Καὶ ἐμὸν λέχος ἀντιόωσιν. ἐστὶ δὲ, ἀλλ' ἐπειδὴ ἐν τοῖς ἄνω τοπικοῖς βορέης εἶπε, λέγει ἐνταῦθα ἐν τῷ νότῳ τῷ ἐναντίον θέσιν ἔχοντι βορέου. Ἀμφὶ δὲ τούτου δηλοῖ), ὅτι ὁ χμεερινὸς τροπικὸς, νοτιωτέραν ἔχων τὴν θέσιν, ἐναντίος ἐστὶ τῷ θερινῷ τροπικῷ, καὶ τοσαυταπλασίως τοῦ αἰγόκερων· λοιπὸν δὲ ἀπὸ τῶν ἐπιψαυόντων δίδωσιν αὐτοῖς τὴν κατάληψιν. Ἀπὲρ κυνὸς ἐ μάλα πολλὸν αἴνυται) Ἤγουν μεσίδα τοῦ σώματος λαμβάνει· αἴνυται γὰρ τὸ λαμβάνειν· ἀλλ' ὀλίγην μεσίδα ἐπέχει τοῦ σώματος τοῦ κυνὸς, ἄχρι τῶν ἐμπροσθίων ποδῶν. Τοιαύτην οὖν αἴνυται μεσίδα, ὅσην οἱ ἄκροι πόδες τοῦ κυνὸς ψαύουσι. Μετάφρενον) Αἱ φρένες ἐν τῷ ἡμετέρῳ σώματι. μετάφρενον οὖν, τὸ μετὰ τὴν φρένα, ἤγουν τὸ ὀπίσθιον τῆς φρενὸς, τουτέστι τὸ ὀμφάλιον τῆς ῥάχεως. Τὸν πύματον) Τοῦ ἑξότου γάρ ἐστι νοτιώτερος ἄλλος. τοῦτο οὖν φησιν, ὅτι εἰς τὸν ἑξότην πύματον καὶ ἔσχατον φέρεται ὁ ἥλιος, ὡς ἐπὶ τὸ νότιον κατιὼν, ἀπὸ τοῦ καθαροῦ βορέου. καθ' ἑαυτὸν διελθὼν, ὡς ἐπὶ τὰ βορεια ἔρχεται ἄνω ἀπὸ τοῦ αἰγοκέρωτος. τὸ δὲ καθαρὸν, ὅτι αἰθριώδης ὁ βορέας. Τρέπεται γε μὲν αὐτῆ) Ἐν αὐτῷ δὲ τῷ ἑξότῃ ἐν τοῖς τελευταίοις χμεερινὸς τρέπει) ὁ ἥλιος, ἀπὸ τῶν ἑξότων τελευτῶν, καὶ ἀρχαὶ μέλλων τῷ αἰγοκέρωτι. Καὶ οἱ τρία μὲν) Οὗτοι ἴσοι ὄντες καὶ τὸ μέγεθος, ὁ χμεερινὸς τροπικὸς, καὶ ὁ θερινός· ὁμοίως ἐναντίον τι πέπονθε ὁ χμεερινὸς τῷ θερινῷ καὶ τὴν θέσιν· τρία μὲν οὖν αὐτῆ ἀφεστήκασι ὑπέρυθρα, ἓξ δὲ πέντε ὑπόλευκα. Ἀφ' ὧν καὶ ὁ ἥλιος αἰγοκέρωτος ἐπέχει μοῖραν ἡ'. δ'. μὴ ὡρῶν τὴν ἡμέραν ποιεῖ. ιε'. δὲ τὴν νύκτα. κατὰ μὲν τὸ χμεερινὸν τροπὴν, ἓξ μὲν ὑπὸ γῆν, ἓξ δὲ γ'. ὑπὲρ γῆν.

Μεσσόθι δ' ἀμφοτέρων, ἔσος πολιοῖο γαλήνης,
Γαῖαν ὑπουρήσει κύκλος διχάουλι ἐοικώς·
Ἐν δὲ οἱ ἥματα νυξὶν ἰσαίσει ἀμφοτέρῃσι,
Φθίνοντος θέρεος, τότε δ' εἴαρος ἰσαμθίοιο.

Σῆμα

Σῆμα δὲ οἱ κριὸς, ταὺ εσιό τε γωνία κεῖ).
Κειὸς μὲν κ) μῆκος ἑλικοειδέος ἀμφὶ κύκλω·
Ταύεου δ' σκελέων, ὅσση πεφαίνε) ὀκλάξ.
Εν δέ τέ οἱ ζωὴν θυφερέος ὠείανος·
Καμπὴ τ' αἰθομβίης ὕδρης ἔνι οἱ κ) ἐλαφρὸς
Κρητὴρ, ἐν δ' κόραξ ἔνι δ' ἀστέρες ἀμάλα πολλοὶ
Χηλάων· ὃ τῷ δ' ὀφιοῦχα γωνία φορ).
Οὐ μὲν αἰητοῦ ἀπαμείρε). ἀλλά οἱ ἐγγὺς
Ζηνὸς ἀητεῖ) μέγας ἄγγελος· ἠδὲ κατ' αὐτὸς "-τὸν
Ἰσοπείη κεφαλὴ κ) ὑπαύχενον ἐξιάσονται.
Τοὺς μὲν πρόσω ἀδὲν ὀρθοὺς πεδάλλε) ἄξων,
Μεσόθι πολίας ἔχων.

Μεσόθι δ' ἀμφοτέρων) Διαλαμβάνει πρὸς τῷ ἰσημερινοῦ, κ) τότε τὸ μέγεθος δίδωσιν ἀπὸ τῆς ἤδη ἐγνωσμένης κύκλου τῆς γαλαξίου· ἴσον δὲ ἀποφαίνε) ἑνὶ καπὶ τὸ μέγεθος τὸν ἰσημερινὸν, τῇ τε γαλαξίᾳ ϛ τοῦ ζωδιακοῦ· πάντες γὰρ διχῶς τέμνουσι τὴν σφαῖραν· ὁ δὲ νεὼς, ἀμφοτέρων, τῆ τε ἀρκτικοῦ τροπικοῦ, κ) τοῦ χθινοῦ, καθὰ τὸ μέσον ἐστὶν ὁ κύκλος, ὅσος κ) ὁ τῆς γαλαξίας. Εν δὲ οἱ ἥμισυ) Αμφότερα δὲ αἱ ἰσημερίαι ἐν αὐτῷ γίνονται, αἱ ἡμέραι δηλαδὴ ἴσαι τοῖς νυξίν· ἰσοῦν) γὰρ πρὸς μόνας ὡς πρὸς μοίρας· δύο δὲ γίνον) ἰσημερίαι· μία μὲν, ὅτε φθίνει τὸ ἔαρος· τῇ κέ· ϛ ἄλλη, ὃς ἐστι καπὶ ῥωμαίους σεπτέμβρι, γίνεται δ' ἐν ταῖς γηλαῖς ἡ τροπὴ, κ) ἰσημερία ἐστὶ μιᾷ μοίρᾳ τῆ ἡμέρων. ἑτέρα δὲ καπὶ τ μάρτιον, μιᾷ μοίρᾳ τῆ νυκτῶν. Σῆμα δὲ οἱ κριὸς) Τὸ καπάλημψιν αὐτῷ δίδωσιν ἐκ τῆ ἐπιψαυόντων αὐτῷ ζωδίων. σημεῖον δὲ ὁ κριὸς, ὅπερ κ) ϛ ταύρε γέναπι κεῖ)· ἀλλ' ὁ μὲν κριὸς καθὸ μῆκος ϛ ὅλε ἁρμοσμένος φέρε) τῷ κύκλῳ· ϛ δὲ ταῦρε ὁπόση ἐστὶν ὀκλασις ϛ καμπὴ τ σκελῶν γίνε). ὁ μὲν γὰρ κριὸς ὅλῳ ἐστὶ τῷ κύκλῳ πεθσηρμοσμένος· ὁ δὲ ταῦρος καθὸ μόνῳ τῷ τ σκελῶν καμπήν. Καμπὴ τ' αἰθομβίης) Ηγουν ἡ ἀπὸ τ κεφαλῆς πεφύτη καμπή. αἰθομβίης δὲ, ἤγουν τῆς ἐχούσης καυσώδη ἰόν· καυστικὸς γάρ ἐστιν αὐτῆς ὁ ἰός. ϛ Εὐφορίων, Η μὲν πάντ' ὅσα πε φύει δυδίελο αἶα, Η φύκον γ', ἢ πολίω, ὅτ' ἐχείμψατο λυθρὸν Ως πυρὶ καρφόμενον, ψαφαρῇ ἰνδάλλε) πέφυγε· ἡ αἰθομένης, τ καιομένης, ἀπὸ τοῦ ἡλίε· σφόδρα

ὑπὸ τὰ ζώδια τοῦτο ἔστι. Καὶ ἑλαφρὸς κρητὴρ) Ἐν αὐτῷ τῷ ἰσημερινῷ, φησι, κύκλῳ ὁ ἑλαφρὸς κρατὴρ ἐστιν. ἑλαφρὸς δὲ, ὁ ἑλαφρὸς ἐσκεδρος τῷ τὸ ὕδρας σώματι, ἢ ὁ ἀλαμπὴς· ἀμυδροὺς γὰρ ἔχει τοὺς ἀστέρας. Εἰσὶ δὲ ἀστέρες) Οὐ τοῦτό φησιν, ὅτι οἱ πολλοὶ ἀστέρες εἰσὶ τῆς χηλῆς, εἰσὶ γὰρ, ἀλλ' ὅτι οὐ πολλοὶ τῶν ἐν χηλαῖς ἀστέρων ἐπιψαύουσι τοῦ κύκλου· αἱ γὰρ ἄκραι χηλαὶ ἐπιψαύουσιν· Οὐ μὴν ἀλλὰ τοῦ) Ἤγουν οὐκ ἀπολαμβάνει πᾶσα μοῖραν τοῦ ἰσημερινοῦ ὁ κύκλος, ἀλλ' ἔστιν ἴσος αὐτῷ ὁ τοῦ Διὸς ἄγγελος ἀετός.

Τὰς μὲν, παρβολάδλω) Τοὺς μὲν οὖν τρεῖς κύκλους φησὶ, τούς τε τροπικοὺς, καὶ τὸν ἰσημερινὸν, ὁ ἄξων παραβολάδλω κεκλιμένος ἔχει· ἀεὶ βάλλεται γὰρ αὐτὸς ὑπ' αὐτῶν, ἀφαπείρων αὐτός· οἱ δὲ ὡσαύτως ἐξορθούμενοι εἰσιν ἐπ' αὐτῷ, ἢ ὅπου τοῦτοις τοὺς κύκλους παραβολάδλω, ὡσανεὶ παραβληπικῶς καὶ παρακλήλως κειμένους ὁ ἄξων τοὺς ὀρθοὺς ἀφίερει· ἀφαπείρων γὰρ τοὺς πόλους, μόνους τούτους τοὺς ὀρθοὺς κύκλους παρακλήλως ἔχει ἐπικειμένους.

-ὁ δὴ τέτρατος ἐσφήκωται)

Λοξὸς δ' ἀμφοτέρωθι· οἱ μὲν ῥ' ἑκάτερθεν ἔδυσαν
Ἀντιπόλῳ βορικοί, μέσσος δέ ἑ μεσόδι τερμίν.
Οὐκ ἄν τις ἀθλιαίης χθονὸς δεδιδαγμένος ἀνὴρ
Ἄλλῃ κωλήσαιτο κυλινδόμενα βροχάλφα,
Τοῖά τε καὶ τόσα ἄστρα περισφαιρηδὸν ἑλίσσων,
Ὡς τά γ' ἐν αἰθερίῃ πλαγίῳ στεφανηφόρα κύκλῳ,
Ἐξ οἵης ἕκαστα κύκλα διώκει) ἤμαθα πολλά.
Καί τά μιν, ἀντέλλῃ τε καὶ αἰπὺα νηδὸς ἀείρῃ "αὐλίκα
Πάντα παραβλήδλω· μία δὲ στεφέων ἔστιν ἑκάστου
Ἐξείης ἑκάτερθε "κατηλυσίη ἀνόδοιό τε. "-ήλυσις ἠδὲ
Αὐτὰρ οἳ γ' ὡσεανῷ βάθρον παμείβεται ὕδωρ,
Ὅσσον ἀπ' ἀγκερῶνος ἀνερχομένοιο μάλιστα,
Καρκίνου εἰς αἰθέρα κυλίνδει), ἔσσον ἅπαντι
Ἀντέλλων ἐπέχει, βάθρον γαίῃ ἀλλοθι δυσέων·

Ὅσσον

Οσσοι δ' ὀφθαλμοῖο βολῆς ἀποτέμνε) αὐγή.
Ἑξάκις ἀὶ τόσσ' ἠπιν ὑποδραίμοι. αὐτὰρ ἑκάστη
Ἰση μετζηθεῖσα, δύω x πρὸ τέμνε) ἄστρα.

x ὑπὸ τέμνε)

Ο δὲ τέτταρος ἐσφήκωται) Περὶ τὸν ζωδιακὸν λέγει, ἐπειδὴ καὶ περὶ τὸν ἄλλων τριῶν διέλαβεν. τὸ δὲ ἐσφήκωται, ἀντὶ τοῦ συνέχεται. Ὁμηρος, Πλοχμοί θ' οἱ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. ὁ δὲ λόγος, ὁ δὲ ζωδιακὸς ὁ τέταρτος, συνέχεται ὑπὸ ἀμφοτέρων τοῦ χειμερινοῦ καὶ τοῦ θερινοῦ λελοξωμένος. Διὰ γὰρ τοῦτο ὑπὸ τῶν κύκλων συνέχε) ἐπειδὴ λελόξωται. Εἰ οἱ μὲν τροπικοὶ ἀντιπέρας ἀλλήλοις κεῖνται. ὁ μὲν γὰρ βορειότατος, ὁ δὲ νότιος ἐκατέρωθεν αὐτὸν ἔχουσι. Εἰ ὁ μὲν θερινὸς, τὰς καρκίνου ἐπιψαύει. ὁ δὲ χειμερινὸς, τὰς αἰγοκέρωτος. Οὐκ ἂν Ἀθλωΐης) Οὐκ ἂν φθάσαι τὸ Ἀθλωΐας ἀνὴρ ζωγράφος μοῦνον ζωγραφίσαι οὕτω γράψειεν, ὡς ἔστιν ἐν τῷ οὐρανῷ. λείπει ἡ ὑπὸ τοῦ θεσις, ἵν' ᾖ, ὑπὸ τῶν χειρῶν τοῦ Ἀθλωΐας. τὸ δὲ κοσμήσειεν ἀντὶ τοῦ κατασκευάσειεν. οὐκ ἂν οὖν ὁ τεχνικώτατος τοῦ Ἀθλωΐας μοῦνον τὴν ἁρμενον συνήρμοσε τοὺς κύκλους, ἢ εἰσιν· ἢ οὐκ ἂν ὑπὸ τῶν χειρῶν τοῦ Ἀθλωΐας δεδιδαγμένος ἀνήρ τις, ἄλλως κοσμήσῃ κυλιομένους τοὺς κύκλους, ὡς αὐτοὶ ἐν τῷ οὐρανῷ εἰσὶ τὸν παλαιὸν κύκλον τὸν ζωδιακὸν ἀφ' ἡμέρας εἰς νύκτα κεκόλλωκε). εἰη δ' ἂν τὸ, χειρῶν δεδιδαγμένος, ἐκ ἐκλωσισμός, ἀντὶ τοῦ κατὰ χεῖρας μοῦνον, ἐκ ὥσπερ τοῦ Ἀθλωΐας διδαχθείς. καὶ Ὁμηρος, Εὖ οἶδ' ὡς πέπονθα. οὐκ ἂν οὖν ἄλλως τις κατασκευάσῃ περιφερεῖς τροχιὰς ἔτως, ὡς ἔχουσιν οἱ κύκλοι. τὸ οὖν κυλινδρικὸν, ἀντὶ τοῦ περιφερῆ, τροχάλεια, ἀντὶ τοῦ τροχούς. τὸ δὲ, ζῶιά τε καὶ τόσα, ἀντὶ τοῦ τηλικαῦτα καὶ οὕτω κυκλοτερῆ περέχων καὶ περιφέρων τροχάλεια. τὸ δὲ περισφαιρηδὸν, ἤγουν περὶ τὸν σφαῖραν. συναρμόσαι δὲ, συνηρμοσμένα. λέγει δὲ τοῦτο ὅτι ἀκίνητά εἰσι τὰ τροπικὰ σημεῖα, ἐξ ἧς, ἐξ ἀνατολῆς, ἐπὶ νύκτα, ἐπὶ τὸν δύσιν· ἤμαπτα πάντα, ὅτι κατὰ τὰς λόγους τοῦ ἀλλήλων ἀεικίνητός ἐστιν ὁ κόσμος.

Καὶ τὰ μὲ) Καὶ τὰ κύκλα μὲ τοῦτα ἀνατέλλει καὶ δύνει, τὰ πάντα κέκλιται περὶ ἀλλήλως· μία δέ ἐστιν ἐκβάσις ἀνόδου καὶ δύσις· ἴσως γὰρ τὰ κύκλων τὸ αὐτὸ σημεῖον ἔχει, ὅθεν ἀνατέλλει ὅπερ δύνει. τὸ δὲ, ἐξείης ἐκάτερθεν, ἀντὶ τοῦ ἐξ ἑκατέρου μέρους, καὶ οὐκ δύσεως ἐξ ἀνατολῆς ἐκβάσιν κύκλου, ἓν σημεῖον τὸ αὐτὸ ἀνατέλλειν καὶ δύνειν νομίζεται. οἱ μὲν οὖν ἄλλοι οὐ περιφαλῆ χήματα κατεσκευασμένοι, ἀνατέλλουσί τε καὶ δύνουσιν· ὁ μέντοι ζωδιακὸς ἑκάτερθεν. Αὐτὰρ ὅγ' ὠκεανοῦ) Ο ζωδιακὸς κύκλος, κατὰ τὸν ἀίδιον τοῦ κόσμου κίνησιν, ἣ φασιν ἔκλισιν, ἀπ' ἀνατολῆς ἐπὶ τὸν ἐξῆς ἀνατολὴν ὠκεανὸν ἡδ' ὁ ὁρίζων· ὅσον ἔχει ἀφήκημα ἀπὸ αἰγοκέρωτος ἀνατέλλοντος, ἕως ἀνατελλόντος καρκίνου, ἀπὸ αἰγοκέρωτος μὲ χειμερινοῦ τροπικοῦ, μέχρι καρκίνου θερινοῦ τροπικοῦ ὑπὲρ γῆν, τοσοῦτον πάλιν ἀπὸ τοῦ καρκίνου μέχρι τοῦ αἰγοκέρωτος ὑπὸ γῆν διηνεκῶς γίνε)· ἴσον γὰρ αὐτῷ τὸ ὑπὲρ τὸν ὁρίζοντα τμῆμα τοῦ ὑπὸ τὸν ὁρίζοντα· ὅσον γὰρ ἡ ἀνατολὴ τῆς δύσεως ἀπέχει, τοσοῦτον

τον ἡ δύσις τ ἀνατολῆς. τὸ δὲ, ὅσον ἀπάντη, ἤγουν ὅσον ἀπ' ἀνατολῆς ἔχῃ ℨ ὁρίζοντες, ℓσ ἔστιν κ̀ ἐν τῇ δύσ ἐν τῷ καταφέρεσθαι. τοσοῦτ, μία δὲ σφεων, ἔοικε ὡς ἀνυδιαφόλως εἰρῆσθαι ℨ ζωδιακοῦ, ἀφ' τὸ, τὲς μ ἄλλες ἀπ' ἑνὸς σημείου ἀνατέλλοντας, εἰς ἓν πάλιν δύνειν· τ δὲ ζωδιακὸν πλάγιος ἀξιόλογον ἔχ̀ν. Ὅσον δ' ὀφθαλμοῖο) Ἐξάγωνόν ἐστι τοῦτο τὸ σχῆμα, κ̀ φυσικῶς πως· κ̀ γὰρ αἱ μέλισσαι φύσ ζῶσαι, κ̀ ὁ λόγῳ, τὰς καλλιτεχνήσας τ κηρίων ἐξαγώνους ποιῆσι. τ μ οὖν κόσμου σφαιρικὸν συμβέβηκεν εἶναι, τὸν δὲ γλῶ, κέντρου· ἀνάγκη οὖν ὑπερβαλλομένας ὑπὸ τ ὄψεως ἐπὶ τ ὐρανὸν δύσεις, βεβηκότων ἡμῶν ἐπὶ τ γῆς, κ̀ ℨ σχήματος τυγχάνοντος σφαιροειδοῦς ἴσας πάσας εἶναι. ὅση οὖν, φησιν, ὄψεως γίνεται δύσεις, ἄνω βλεπόντων ἡμῶν εἰς τ ὐρανὸν, τοσοῦτοι) ὀφείλουσιν ἐξ νοείας δι' ὅλης τ σφαίρας. αὗται δὲ λαμβανόμεναι κατὰ μ ℨ ἑξάγωνον σχῆμα, κ̀ ἴσον ἀπέχουσαι, δύο ℨ ἑξάγωνα λαμβάνουσι κατὰ τὴν ἑαυτῶν μεσότητα ζώδια· ὅτω γὰρ ἀποτελοῦσι τὸ ἑξάγωνον σχῆμα. πάλιν οὖν τεχνικῶς κ̀ γεωμετρικῶς διήρηκε τ ζωδιακὸν κύκλον εἰς τὰ δωδεκατημόρια· λέγ γὰρ, ὅσον ἡ ὁρατικὴ ὄψις ἐστὶ, τοσοῦτόν ἡ ἀκλὶς ἡ ἀφ' ἡμῶν ἀφιεμένη, ἐπὶ τὸν ἀναπάντων ℨ ὁρίζοντος ἐπιφάνειαν, τηλικαύτην δύσεων ἐγγράψας τοῦ κύκλου ἑξάκις· εἶτα ἑκάστην αὐτῶν τέμνων διχῶς, διῄρησε ιβ'. τ ζωδίων δωδεκατημόρια· εἶτα καταλειμμένη τὰ ζώδια. τὸ δὲ θεώρημα, ὡς ἄρα ἡ ὀπ ℨ κύκλου τοῦ κέντρου, ἴση ἐστὶ τῇ ἐγγραφομένῃ ἐν κύκλῳ ἑξαγώνῳ πλευρᾷ. ἀποτέμνεται δὲ, αὐτὶ ℨ περιγράφεται ℭ δηκνύει μὴ γωμφίζωμεν δὲ, εἰ ἕκαστον τ ζωδίων τηλικοῦτόν ὂν κατὰ τὸ μέγεθος, ὡς τὸ ἡμισυ ἐπέχειν ℨ ἀπὸ γῆς ἐπὶ τ ὐρανὸν ἀφαιρήματος, σμικρότατον ὁρᾷ)· διὰ γὰρ τὸ πόρρωθεν ἡμᾶς εἶναι ἐκείνων, ἀφ' τοῦτο ἡμῖν μικρὰ φαίνεται, καὶ ὡς ὅταν μεγάλα, ὡς ὁ ἥλιος παρὰ τοῖς μαθηματικοῖς ἐπισύ τῆς γῆς ὀκλωκαιδεκαπλασίων ὢν, κ̀ ἡ πᾶσα γῆ τοῦ μεγέθους αὐτοῦ ὀκλωκαιδέκατόν ἐστι, κ̀ ὅμως ἡ διαφέρεια αὐτοῦ πάνυ δοκεῖ μεγάλη εἶναι, ἐπειδὴ σφόδρα αὐτοῦ ἐσμεν κεχωρισμένοι. ὅτω κ̀ τὰ ἄστρα μεγάλα ἐσι σφόδρα, κ̀ ἐπιπολὺ ἐκτέτευται. ἀλλὰ τ μεγεθισμῶ ἡμῶν βραχέα φαίνεται)· ὁ Σπόρος δέ, ὅτως ἐξέλαβεν· ὅσον δὲ τ ἀπὸ ℨ ὀφθαλμοῦ βολίδος κ̀ ἀκτῖνος ἀποτέμνεται κ̀ ἀφαιρεῖται ἡ αὐτὴ ℨ αἰθέρος, ἑξάκις ἂν ὑποδράμοι τ ζωδιακὸν ἀπηλιωμένον. ἕκαστον δὲ τ ἑξ εἰς δύο τεμῶν, διχοτόμοι ἂν κ̀ διαλάβοι ℭ ὑποκείμενα ιβ'. ζώδια. ἐπειδὴ γὰρ ἐν παντὶ κύκλῳ ἡ ἐκ ℨ κέντρου ὡδὶς τὴν διαφέρειαν ἀχθεῖσα δύθεῖα, ἑξάκις ὑποτείνει τὸν ὅλου διαφέρειαν, ἀφ' τοῦ χρησιμώτατον τοῦ ὡδὶς γλῶ σημείῳ, τῇ ἡμετέρᾳ ὄψ, (ὅπις ἡ γῆ κέντρου λόγον ἐπέχ̀ ὡδὶς τὸν τ ἀπλανῶν ἄστρων σφαῖραν· ἡ δὲ ἡμετέρα ὄψις ἐδὲν τοῦ κέντρου τ σφαίρας ἀφαιρεῖ, καὶ τε τὴν θέσιν ὡδὶς τὸ πᾶν, ℭ ὅπ ἐδὲν ἀφαιρεῖ, ἀπό τε ℨ κέντρου, τυτέστι τ γῆς, ὁρῶν τὰ ἐρανία, ἢ ἀπό τινος τ ἐπὶ τ ἐπιφανείας κειμένων, ὅτω δὴ μικροῦ ℭ σημείου λόγον ἐπέχοντος.) χρησιμώτατον οὖν ὡς σημεῖον τῇ ἡμετέρᾳ ὄψ, ὅτω τὴν ℨ ζωδιακοῦ πεποίηται) ὡδιωτέρησιν.

Ζωίδιον

Ζωΐδιον δὲ ἑκάστου κύκλου ἐπίκλησιν καλέουσι.
Τῷ ἓνὶ καρκίνος ἕστηκε, λέων τ' ἐπὶ τῷ, καὶ ὄπιθεν αὐτῆς
Παρθένος. αἱ δ' ἐπὶ οἱ χηλαί, καὶ σκορπίος αὐτούς,
Τοξότης τε καὶ αἰγόκερως, ἐπὶ δ' αἰγοκερῶτι
Ὑδροχόος· δύο δ' αὖτε ἐπ' ἰχθύες ἀστερόωνται·
Τοὺς δ' μέτα κριός, ταῦρός τ' ἐπὶ τῷ, διδυμοί τε
Ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσι,
Πάντ' ἐναυτὸν ἀγών· καὶ οἱ ὧδε τέτυκται ἑκάστῳ
Κύκλον, ἀείζονται πᾶσαι ἐπικάρπιοι ὧραι.

Ζωΐδιον δὲ ἑκάστου κύκλου) Λοιπὸν τὰ ιβ'. ζωδίων ὀνομασίαν ποιεῖται, καὶ ἄρχεται πάλιν ἀπὸ τῆς ἐπισημοτέρας ἐν τοῖς βορείοις, τῆς καρκίνου. Διὰ τί δὲ ἀπὸ καρκίνου ἤρξατο, καὶ παύεται τῆς αἰγοπλίας ἀεὶ ἀπὸ κέντρου λαμβανόντων τὴν ἀρχήν; ὅτι εἰώθασι ἀεὶ ἀπὸ τῶν βορείων ἄρχεσθαι· βορειότερος δέ ἐστι πάντων ὁ καρκίνος· οἱ δὲ αἰγόκλειοι εἰκότως ἀπὸ τῆς κέντρου ποιοῦνται τὴν ἀρχήν, πάντα τὰ ζώδια κατὰ ἀναλογίαν λαμβάνοντες τῶν μελῶν. ἔστι δή, τὸ μὲν κέντρον κεφαλὴν εἶναί φασιν, ἐν ᾗ τὸ ἡγεμονικόν· ἐπειδὴ ὁ κέντρος τῶν ἀστέρων ἡγεμών καὶ πρόοδός ἐστι, καὶ ὅτι ἐν τῷ κέντρῳ ὁ ἥλιος ἰσημερίαν ποιεῖ· τοῦτον δέ, τὸν αὐχένα ἄρχει τῶν ποδῶν, οἳ εἰσιν οἱ ἰχθύες· πολλὰ δὲ αὐτῶν καθ' ὁμοιότητά εἰσιν· ἔνια δὲ καὶ κατὰ πάθος, ὡς ὑδροχόος, πολλῶν τοιούτων καὶ καταφερομένων ὑετῶν, τῷ ἡλίῳ διαβαίνοντος αὐτόν. διαφέρει δὲ ζώδιον δωδεκατημορέως, τῷ μὴ συναπαρτίζειν ἕκαστον ζώδιον τὸ δωδέκατον τοῦ ζωδιακοῦ, ἀλλ' ἔνια μοῖραν ἐλλείπειν, ὡς ἐπὶ τοῦ κέντρου καὶ καρκίνου. ὅπου δὲ ὑπερβάλλει, ὡς ἐπὶ τοῦ σκορπίου καὶ τῆς παρθένου. Ἐν τοῖς ἠέλιος φέρεται) Ἐναντίαν τῷ παντὶ κίνησιν ποιεῖται ὁ ἥλιος, ἐκάστης ἡμέρας μίαν μοῖραν ἴσῳ ἄλλῳ κινούμενος. τξ'. οὐ πασῶν ἴσων τῶν κύκλου μοιρῶν, ἐν τξ'. ἡμέραις, καὶ δή. μᾶλλον μέρει τινὶ ἡμέρᾳ, ὁ ἥλιος διανύει πάντα τὰ ἐναυτόν. ἐν τούτοις οὖν ταῖς δώδεκα ζωδίοις ὁ ἥλιος φέρεται, τὰ ἐναυτὸν συμπαντῶν ἅπαντα. ἐν ἑκάστῳ γὰρ ζωδίῳ ποιεῖ μῆνα ἐκ ιαʹ. που ὥρας, ἐφ' ἑκάστης γὰρ μοίρας μίαν ἡμέραν ἐκ μικρόν τι παρασπατιλεῖ. πορεύεται δὲ τὸν μέσον χαραγμὸν τοῦ ζωδιακοῦ, παρὰ μῆκος κινούμενος, καὶ ἔχ ὡς οἱ ἄλλοι πλανήτης εἰς πλάτος. ποιεῖται δὲ τὴν πορείαν ἐναντίαν τῷ παντὶ κύκλῳ· ὁ μὲν γὰρ κύκλος ἀπὸ ἀνατολῶν ἐπὶ δύσεως φέρεται· ὁ δὲ, ὡς ἐπὶ ἀνατολάς. τὸ δὲ, ταῦρός τ' ἐπὶ τῷ, ὅτι ζῦ κριοῦ ὁ ταῦρος βραδύτερον δύνει, ὅσῳ καὶ ἀνώτερος αὐτοῦ ἐστι. καὶ καταφερομένου ταῦρου οἱ δίδυμοι, καὶ ἑξῆς τὰ λοιπά. τῆς τοίνυν καταφορᾶς καὶ δύσεως τοῦ παντὸς

παντὸς, ἀεὶ ὑψηλότερον καὶ ἀνώτερον φαίνεται ὁ ζωδιακὸς, ὡς ἐπὶ τὸ φανερὸν τοῖς ἀνθρώποις. Καί οἱ ἀεὶ ἐοῦσι ἰόντι) Τῶν γὰρ ὡρῶν ταῖς μεσοδολαῖς ἡ τοῦ ἡλίου κίνησις ποιεῖ, ἃς ἐπικαρπίους καλεῖ, ἀφ' ὧν μητέρας εἶναι τῶν καρπῶν· καιροὶ γὰρ καρπῶν γονήτορες. αὔξονται δὲ, διαυύοντος τοῦ ἡλίου τὸ πάντα κύκλον.

Τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
Τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτὶ,
Ἐξ αἰεὶ δυόωσι δυωδεκάδος κύκλοιο·
Τόσσαι δ' ἀντέλλουσι τόσον δ' ἐπὶ μῆκος ἑκάστη
Νὺξ αἰὲι τεταύυται, ὅσσον τέτρ' ἥμισυ κύκλου
Ἀρχομένης ἀπὸ νυκτὸς, ἀείρεται ὑψόθι γαίης.

Τοῦ δ' ὅσσον κοίλοιο) Κοῖλον ὀρθῶς ἔφη τὸ ὀρίζοντα· τῷ μὲν γὰρ ἔξωθεν νοεῖται, κυρτὸς φαίνεται· τῷ δὲ ἔνδοθεν καὶ ἀπὸ γῆς, κοῖλος· ὁ δὲ νῦς, ὅσσον δ' αὐτοῦ ὑπὸ τὸ ὁρίζοντα πίπτει, τοσοῦτον καὶ ὑπὲρ γῆν ἀναφέρεται· ἀεὶ γὰρ κατὰ τὸ ἀκέλευστες, ἓξ μὲν ὑπὲρ γῆν ζώδια, ἓξ δὲ πάλιν ὑπὸ γῆν. γεωμετρικῶς δὴ καὶ ἀστρονομικῶς τοῦτο ἔφη. Δυωδεκάδος κύκλοιο) Τὰ μὲν γὰρ ζώδια οὔτε ἐντὸς τοῦ ζωδιακοῦ κύκλου εἰσὶν ὅλα, οὔτε ἐκπεπλήρωται λ. μοιρῶν. ἔστι δὲ ἃ καὶ ὑπερεπέπλωκε· τὰ δὲ πολλὰ αὐτῶν καὶ πλάγια κατευθύνει, ὥστε οὐκ ὀρθὰ ἀναφέρεται, ὥστε οὐκ ἂν τις ἐξ αὐτῶν λάβοι τὸ ἀκέλευστες. τῶν δωδεκατημορίων δὲ ἕκαστον, λ'. μοίρας ἔχει· καὶ γὰρ ὁ τοῦ ἡλιακὸν λογιζόμενος κύκλον, εὑρήσει μόνας ρπ'. ὑπὲρ γῆς ἀεὶ καὶ ἀφ' παντὸς μοίρας. Τόσσον δ' ἐπὶ μῆκος) Διὰ σαφεστέραν εἶπε τὰ τῶν νυκτῶν τὰ ἀφ' ἡμέρματα, ἀφ' ὧν καὶ τὰ τῶν ἡμερῶν νοητέον· ὁμοίως γάρ. ὁ δὲ λόγος, ἑκάστη νὺξ ἐπὶ τοσοῦτον μῆκος γίνεται, ἢ τοσοῦτον ἔχει ἀφέσημα τῆς παραφερείας, ὅσον ἀπὸ νυκτὸς ἀρχομένης ἐπαίρεται καὶ παραλλάττει) μέρος τοῦ κύκλου τὸ ἥμισυ ἐπέχον ἐξ ζώδια· οἷον, εἰ ἀρχομένης τῆς νυκτὸς, ἀνατέλλοι χαρκίνος περὶ παραφορὰν καὶ δυτέραν ὥραν, τοσοῦτον ἔξει ἀφέσημα, ἕως ἂν πάλιν ἐπὶ δύσιν ἔλθῃ. καὶ ἀνυσθέντος τοῦ ἡμικυκλίου ἀπὸ χαρκίνου ἕως τοξότου, τὸ πᾶν τῆς νυκτὸς μῆκος τελεῖται. πάλιν δὲ ἀναπτέλλει ἀπὸ αἰγοκέρωτος ἤρξατο ἡ νύξ. κατὰ ἀφαίρεσιν οὖν ἕως τῶν διδύμων, ἔχει τὸν παραφορῶν. φησὶν οὖν, ὅτι ἑκάστης νυκτὸς, οἱονοῦν ἐστι τὸ μῆκος, οἷον ἐπαίρεται μέρος τοῦ κύκλου, λέγω δὴ τὸ ἥμισυ, ἀρχομένης αὐτῆς. καλῶς δὲ εἶπεν, ὅσσον ἥμισυ· ἐπειδὴ, ὡς μὲν μεγάλων ἔχει τὴν παραφορὰν, τὰ μὲν βόρεια· τὰ δὲ, ἥμισυ ἐλάττονα, τὰ περὶ τὰ νότια, ἐφ' ὧν ὁσοῦτον ἔστι τὸ μῆκος, ὅσον καὶ τὸ ἐπιφερόμενον ἡμικύκλιον. Ὅσσον αὖ ἥμισυ κύκλου ἀρχομένης ἀπὸ νυκτὸς) Τοσοῦτον ἐπὶ μῆκος, φησιν, ἑκάστη νὺξ ἀεὶ τείνει), καθ' ὅσον

ὅσον καὶ τὸ ἡμικύκλιον. ἀφ' δὲ τὸ, ὡς σέληνε, τὸ, ἀείρῃ ὑψόθι γαίης, ὡς τῶν βορείων ἀεὶ ὑψηλοτέρων ὄντων, καὶ τὸ ὅλον ἡμικύκλιον ἀφ' ἧς νυκτὸς ἀναλαμβανόντων. ἀναλαμβάνειν πάντως, ἀφ' οὗ τὸ ἀναλαμβανόντων.

Οὔ κεν ἀποβλήτην διδυκημένῳ ἤματος εἴη,
Μοιράων σκοπιὴν ὅτ' ἀντέλλησιν ἑκάστη.
Αἰεὶ γὰρ ζώων γε μιῆ συναείρεται αὐτὸς
Ἠέλιος· τὰς δ' αὖ γε διασκέψαιο μάλιστα
Εἰς αὐτὰς ὁρόων· ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
Γίνοντ', ἢ ὄρεος κεκρυμμένοι ἀντέλλοιεν
Σήματ' ἐπερχομένοισιν ἀρηρότα ποιήσασθαι·
Αὐτὸς δ' αὖ μάλα τοι κεραίων ἑκάτερθε διδοίη
Ὠκεανός, τότε πολλὰ διαπρέπεται οἱ αὐτῷ,
Νήδυμον ὅππημος κείνων φορέῃσιν ἑκάστην.

Οὔ κεν ἀπόβλητον.) Σφόδρα φρονίζει ὁ Ἀρατος τῶν ναυπλομένων, καὶ ἀφ' πολλῶν τεκμηρίων πειρᾷ) αὐτοῖς χρωμένοις καθ' ὅσον ἔξεσι βοηθεῖν, παρόμοιόν τι ποιῶν Ἡσιόδῳ. ὁ μὲν γὰρ σφόδρα τῶν γεωργικῶν· ὁ δὲ, τῶν ναυπλομένων ποιεῖται ἐπιμέλειαν. οὐκ ἀδόκιμον οὖν, οὐδὲ πάρεργον σημεῖον λέγει τοῖς ναυπλομένοις, ὅτι ἐὰν νυκτὸς συμβῇ τινα κινδυνεύσαι, ἀφορᾶν, καὶ μανθάνειν) μὴ πόσας ὥρας ἔτι ἡ ἡμέρα. καὶ οὐ τοῦτο γινωσκόντι δεῖ ποιεῖν. ὁ δὲ νῆς, ὡς ἀνεῖη σοι ἀδόκιμον, ἐπιτηρεῖν τὴν ἡμέραν καὶ ἐκδεχόμενον, ἐπισκοπεῖν ἑκάστην τῶν ἄρτων, ἐπειδὰν ἀνατείλῃ· ἀλλ' οὐ τῷ ἐναντίῳ ὠφέλιμον ἂν εἴη. ἢ, οὐκ ἀδόκιμον ἔστι σοι τοῦτο τηρεῖν, σκέπτεσθαι τὰς τῶν ζωδίων ἀνατολὰς, καὶ ἐν ποίῳ τούτων ἐστὶν ὁ ἥλιος· μανθάνων γὰρ ἐν κριῷ εἶναι αὐτὸν, ἴσασι ἀρχὴν γνώσῃ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν· ταῦτα δὲ ἵνα γνῷς, ποτὲ δεῖ ἀπείρειν καὶ διαιρεῖσθαι εἴσεσθαι). ἕτεροι δὲ οὕτως ἐξέλαβον· ἐπιτηρεῖ ποτὲ ἡ ἡμέρα ἐστὶν, ἤγουν ἐν τινι ζωδίῳ ἐστὶν ὁ ἥλιος. ὁ γὰρ εἰδὼς τοῦτο, εἴσεται πόσον τὸ νυκτός ἐστιν ἡ ὥρα· ἐν δὲ τούτῳ καὶ τὴν ἀρχὴν τῶν ἀνατολῶν καὶ συγκαταδύσεων· μοίρας δὲ εἶπε νῦν τὰ ζῴδια, δι' ὧν ὁ ἥλιος φέρεται). ἐν δὲ τῇ ἥμαθος εἴη, λείπει ἡ δεῖ, ἵν' ᾖ, δεῖ τὸ ἥματος τῶν μοιρῶν, τουτέστι τῶν ζωδίων ἐστὶν ἀδόκιμόν ἐστι συνοοῦντι καὶ θεωροῦντι, σκέψασθαι καὶ ἀφορᾶν, ποτὲ ἀνατείλει ἑκάστη μοῖρα, ἤγουν

χων ἑκαστον ζῴδιον· τὸ γὰρ καθ' ἓν ζῴδιον μοῖρά ἐστι τοῦ ὅλου κύκλου, λέγονται μὲν γὰρ μοῖραι καὶ αἱ διαιρούμεναι εἰς λεπτὰ ἑξήκοντα· λέγονται) καὶ αὐτὰ τὰ ζῴδια. νῦν οὖν τὴν ἄλλην τοῦ ζῳδίου περιπόλησιν μοῖραν ὀνόμασεν. Αἱεὶ γὰρ τάων) Τούτων δὲ μοιρῶν, ἀντὶ δὲ, τούτων δὲ ζῳδίων, ἐνὶ αἰεὶ συναναπίμπλησι ὁ ἥλιος. σὺν αὐτῷ δὲ πάλιν ἐκείνῳ τῷ ἄστρῳ, ἤγουν ζῳδίῳ δύνοντος δὲ ἡλίου, τὰ ἄλλα σὺν τῇ νυκτὸς ἀνιόντα, δυνατὸν περισκοπεῖν. Τὰς δ' ἂν κε περισκέψαιο) Ταύτας δὲ τὰς μοίρας περισκοπήσιμος ἀκριβῶς, καὶ εἰς αὐτὰς ὁρῶν, ἤγουν εἰς ἓν ἕκαστον τῶν δώδεκα ζῳδίων ἀφορῶν, πάνυ ἂν δύναιο καταλαβεῖν αὐτάς. εἰ δὲ ἐξ ὁμόρων καλύπτοιντο, ἢ σὺν τοῖς παραχθέντων ὁρῶν γένοιο) ἀφανεῖς, κεκουμμένας, ἢ ἀπ' ὄρους ἔχουσι τὰς ἀναβολάς, ὥστε σωφρονῶν ἡρμοσμένα καὶ ἀσφαλῆ, πάλιν ποιοῦ σοι τεκμήρια σὺν τοῖς ἐπεχομένοις, τοῖς συναναπίμπλασι δὲ ζῳδιακοῖς, παρ' ἑκάτερα, ἔν τε τῷ νοτίῳ, καὶ σὺν τῷ βορείῳ, καὶ σὺν ἄλλοις ἄστροις. Αὐτὸς δ' ἂν μάλα τοι) Περὶ τοῦ ὀρίζοντός φησιν, ὃ κέκραται τῷ ἀνατολῷ καὶ τὴν δύσιν λέγει· καὶ ἦ περιφερὴς ἔσται, ἥτε δύσις ἐστὶ καὶ ἀνατολή, κέρασιν εἰσι παρακαλήσιαι. ὁ δὲ νῦς, αὐτὸς δὲ ὁ ὠκεανὸς, σὺν τῷ ἀνατολικῷ μέρους τοῦ δυτικοῦ, τεκμήρια δίδωσιν ἐκδηλα, καθ' ἑκάστην ἡμέραν ἀνατέλλοντα καὶ δύνοντα, τῶν ζῳδίων καὶ τῶν λοιπῶν. καὶ γὰρ εἰ τῆς ἀνατολῆς ἄστρα κωτέχοις, σὺ τῶν δύσεων τεκμήρια σοι δίδωσιν· εἰ τοῖς σὺν τῶν δύσεων, σὺν τῆς ἀνατολῆς. Τά τε πολλὰ περισρέφεται) Ἐξ ἀμφοτέρων τῶν μερῶν δηλαδὴ τοῦ ὀρίζοντος, ἔν τε τῷ ὑπὲρ γῆν ἡμισφαιρίου, καὶ τῶν λοιπῶν ζῳδίων, λέγει δὲ τὰ ἄστρα, τουτέστιν ὁ ὠκεανὸς ἐξ ἀμφοτέρων τῶν ἀρκτικῶν ἄστρων παρέχει τεκμήρια διὰ ἄστρων, ὥσῳ ἕκαστον σὺν τούτων ποιεῖ ἐπισφαιροῦται ἑαυτῷ, ἐπίκειται· σὺν ἑκάστῳ γὰρ μοίρᾳ ἕκαστον ἀναφέρεται. σὺν τῷ ὑπογείῳ οὖν κύκλῳ ὑποτίθεται εἶναι τὸν ἥλιον καρκίνῳ πρὶν δὴ ἀνέλθῃ, δεῖ σκοπεῖν, τί τὰ ἄστρα συμβάλλεται, ὅτι μέλλει ἡμέρᾳ γίνεσθαι· ἐπὶ μεζόφερες τὸν ἥλιον ἐπὶ τὸν λέοντα, καὶ φησι, πρὶν ἀνελθεῖν τὸν λέοντα, σκόπει τὰ παρακείμενα ἄστρα, καὶ συμβαλεῖς. ἐπὶ ἐπὶ γῆ ἐπὶ τῷ παρθένον τὸν ἥλιον. τὸ δὲ ὀπίπτμος, ὑφὲν ἀναγνωστέον. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. αὐτὸς δέ σοι ὁ ὁρίζων καὶ ἀνατολῶ καὶ δύσιν δείξει τὰ ζῴδια, ἃ περισρέφεται ἐν ἑαυτῷ· ὃ δὲ περισρέφεται, ἀντὶ συνεργητικοῦ ἐστι δείξει ἓν ὅπ ἑκάστῳ τῶν μοιρῶν, ἀντὶ δὲ δωδεκατημορίων, ἀναφέρων ὁπότε ἀνατέλλουσαν παρέχεται.

Οὔ οἱ ἀφαυρὸν ἄστρον, ὅτε καρκίνος αἰτέλλησιν,
Ἀστέρες ἀμφοτέρωθεν ἐλισσόμενοι περέχουσιν,
Τοὶ μὲν δυόντες, τοὶ δ' ἐξ ἑτέρης ἀνιόντες.
Δυοὼ μὲν τέφανος, δυοὼ δὲ κὴ ῥάχιν ἰχθύς.
Ἡμισυ μὲν κεν ἴδηαι μετόπωρον, ἥμισυ δ' ἦδη.

Ἐκλειπ

Ἑξαπίαι βάλλουσι κατερχομένῳ στεφάνοιο·
Αὐτὰρ ὃγ' ὀξόπιθεν τετραμμένος, ἄλλα μὲν ὄπω
Γαστέρι νηέρῃ, τὰ δ' ὑστερα νυκτὶ φορεῖται·
Τοὶ δ' ἢ Εἰς ὤμους καταγὰ μετεγίνοφιν ὄχον (γὰρ)
Καρκίνος ἐκ γενάτων, καταγὰ δ' ὄφιν αὐχένος ἐξ-
Οὐδ' ἀὖ ἔτ' ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν
Μείων ἠμάλιος, ὃ δ' ὅτι πλέον ἔμπυχος ἤδη·
Τέτρασι γὰρ μοίρῃς ἤδη καπόντα βοώτεω (ἄμυδις
Ὠκεανὸς δέχεται· ὁ δ' ἐπὴν φάεος κορέσσῃ),
Βαλυτῷ ἐπεχὰ πλῆθον δίχα νυκτὸς ἰούσης,
Ἥμισυ ὅτ' ἠγίοιο κατερχομένοιο δύῃ).
Κρηναίη τοι γὰρ νύκτες ἐποψὶ δύοντι λέγουσι)·
Ὡς, οἱ μὲν, δυσόωσιν· ὁ δ' ἀντίος, οὐδέν' ἀφαὴς,
Ἀλλ' ὃ μὲν ζώνῃ, ὃ δ' ἀμφοτέρῃσι φαάων
Ὤμοις, ὠρείων, ξίφεος γένυν ἶφι πεποιθώς,
Πάντα φέρων ποταμοῖν, κέρδιστος ὠδατείνῃ) ἀλλὰ

Οὔ οἱ ἀφαυρόπαλοι) Μέλλων διεξέρχεσθαι τὰ περὶ ἀνατολὰς καὶ δύσεις λόγων, καὶ συναναπαλόντων καὶ συγκαταδυόντων τῷ ἀρχῷ ἀπὸ καρκίνου ποιεῖται, ὃν καὶ ἐν τῇ ἀρχῇ τῆς ζωδιακοῦ κύκλου πρῶτον ὠνόμασε· καί φησιν, ὅτι καρκίνος ἀναπέλλοντος, σὺν ἀμαυρῷ μὲν ἄστρῳ ἀνατέλλει οὐτος, καὶ ὑπναπαδύει. δύεται δὲ τὰ στέφανον φησὶ καὶ τὸ ἥμισυ, καὶ τὸν νότον ἰχθὺν καὶ ῥάχιν, καὶ ἀνατολὰς ἐσχηματισμένων αὐτῶν τῷ περὶ τὸν χαπέμα μυρῶν. καὶ ἀνυπναπαδύειν δέ φησι τὸ ὀφιοῦχον ἀπὸ ποδῶν μέχρι ὤμων, καὶ τὸ ὄφιν, ὃν ἔχει ἐν ταῖς χερσὶ, μέχρι τραχήλου. Καπὶ ῥάχιν ἰχθύς) Εἰς δυσμὰς φέρεται ὡς ἐπὶ τὴν ῥάχιν ὁ νότιος ἰχθύς· ἄνω δὲ νένευκε. δύεται δὲ ταῦτα, ἀναπέλλοντος τοῦ καρκίνου, περὶ τὴν δευτέραν ὥραν τῆς νυκτός. Ἑξαπίαι βάλλουσι) Πάλιν περὶ τοῦ στέφανου ἀναλαμβάνει. μέλλοντος οὖν ἀναπέλλειν τὸ καρκίνου, τὸ ἥμισυ τοῦ στέφανου ἴδοις ἂν ὑπὲρ γῆν· τὸ δὲ ἄλλο ἥμισυ αἱ δύσεις παρέλαβον, καὶ ἀφανίζουσιν, εἰς δύσιν τοῦ στέφανου καπόντος. ἑξαπίαις

δὲ πὰς δύσις φησὶν, ἐπειδὴ κὴ πρὸ τοῦ περὶ τὴν ἀνατολὴν λέγ. Αὐξάρ ὅγ' ἐζόπιθεν) Ὁ νότος ἰχθὺς, εἰς ζυπίσω τραπείς, ὃ ὕπως ἔχων τὴν ὄψιν, τὰ μὲν ὑπέρτερα τὰ ὑραῖα ἐν τῷ ἀφανεῖ ἔχ, τὰ δὲ ὑπὸ τὴν γαστέρα, ἐν τῷ μετεώρῳ. ὅπερ βιαίον ἐστι, τὸ δὲ ὑπέρτερα λέγ τὰ ὑραῖα, ἃ τὸ ὀναντίον ἔδη. διὸ πᾶς ἐπὶ τῶν ἐν γένεσι τοῦτο μετενηνόχασι· τὰ γὰρ ὑπέρτερα αὐτῶν ἐπὶ κεφαλὴν ἤδη δέδυκεν, ὅτι ὃ ἔχ στέφανον. τὰ δὲ κάτω πρὸς τὴν ἐχάτην γαστέρα ἐν τῷ μετεώρῳ ἔχ. Τὸν δὲ κὴ εἰς ἄμυς) Τὸν δὲ ὀφιοῦχον ἀπὸ γονάτων μέχρι τῶν ὤμων ἐπὶ δυσμὰς ἄγ ἀνατέλλων ὁ καρκίνος, κὴ τὸ ὄφιν ἄχρι αὐχένος. μαρτυρῶ δὲ αὐτὸν λέγ, ὅτι ὁλος πρὸς τὸ ὄφιν πτνεῖ. τὸ δὲ αὐχένα ἐζῆς, ἤγουν μέχρις αὐχένος αὐτῷ τῷ ὀφιούχῳ. προσλαβεῖν δὲ τοῦτο ἀναγκαῖον, ὅτι ὁ ὀφιοῦχος ἅμα διδύμοις ἀναφερομένοις, ἀρχεται δύνειν ἀπὸ ποδῶν μέχρι γονάτων· ὥστε ἀκόλυθόν ἐστι τὸ νῦν εἰρημένον. κὴ ὕπως ἔχ ὁ λόγος, μέχρι τῶν ὤμων καταφέρ), κὴ μέχρι τοῦ αὐχένος ὃ ὄφεως. ὁρᾷ γὰρ αὐτὸ δύνοντος, μέχρι τῶν γονάτων ἀπὸ τῶν ποδῶν προκαταδέδυκεν ἤδη τὰ διδύμων ἀναφερομένων. Οὐσὶ ἐν ἔτ' ἀρκτοφύλαξ) Οὐ πολὺς ἐσὶ ἐξ ἴσου φαίνεται ἀμφοτέρωθεν, τυτέσιν ὁ τὸ ὑπὲρ γῆν κὴ τὸ ὑπὸ γῆν· ἀλλὰ τὸ μὲν ὀλίγον ἄνω ὑπὲρ γῆν, τὸ δὲ πλέον ὑπὸ γῆν. ἡμέρᾳ οὖν, ὑπέργ· ἔννυχος, ὑπόγ. ὅσον ἂν οὖν ἔπ πολὺς εἴη οὔτε ὑπὲρ γῆν, οὔτε ὑπὸ γῆν, τῆ καρκίνῳ ἤδη ἀρξαμένου ἀνατέλλ. ἀνατείλαντος δὲ, ὃ πλεῖον αὐτῆ δεδυκός ἐστι· ἐλάχιστον γάρ ἐσι ὃ ὑπὲρ γῆν· ἐπειδὴ γάρ φησιν αὐτὸν τέσσαρσι ζωδίοις ἀνατέλλουσιν ἀνηκαταδύεσ, ταύρῳ, διδύμοις, καρκίνῳ, λέοντι, ὅταν ὁ καρκίνος ἀνατέλλει ἄρχηται, ἤδ ὑπὲρ γῆν πολύς ἐσιν, ἤδ ὑπὸ γῆν· δύο μὲν ἦ αὐτῆ παρειληλύθασιν ἤδη μοῖραι, δύο δ' ἔτ λείπονται. ὅταν δὲ ἀνενεχθῇ, τρεῖς μὲν αὐτῆ δεδύκασι, μία δ' ἔτ ὑπολέλειπται. ταύρου δὲ ἀνατέλλοντος, αὐτὸς δύνειν ἄρχεται. Τέτρασι ἦ μοίραις) Τὸ δὲ ὃ αἴτιον τῆ, ἀνατείλαντος καρκίνου, ὃ φαινόμενον ὀλίγον ἔχ ὑπὲρ γῆν τῆ βοώτου. μοίραις δὲ νῦν, ζῴοις ζωδίοις. ὁ δὲ λόγος, τέτρασι ζωδίοις ὁμοῦ καπόπτα τῆ βοώτου ὑποδέχεται ὁ ὀφιοῦχος· ὁ ἦ βοώτης ἐπιψαύει τῆ δύσεων μὴ χηλῶν, ἔτι μὴ σκορπίου, κὴ ζξότου· κὴ ὅτι ὁ αἰγόκερως δύνει, ἐπὶ δύσιν κὴ αὐτὸς πλείοσι κὴ ὀλοχερῶς δύε). ὃ ὕτω τεσσάρων ζωδίων ἐπέχ χρόνον ἐν τῇ δύσει. ἐπειδὴ ζίνν τῶν αἰγοκέρωτος ἐλθόντος εἰς δύσιν, ὁ βοώτης τελείως δύεται, ὁ δὲ καρκίνος ὅτι κατὰ μέσους γίνεται ἦ αἰγοκέρωτος, μέσ τοῦτό φησιν, ὅτι ὁ βοώτης ὅτ' ἀνατέλλει καὶ ὅτε ἡμέρας ὀλίγον αἴρει). ἐπειδὴ ἐν τέτρασι μοίραις δέχεται αὐτὸν ὁ ὠκεανός. διὸ λυόθησαν δὲ λοιπὸν ἦ καρκίνῳ ἀνιόντες. Ὁ δ' ἐπλὴ φάεος) Ὁ δὲ βοώτης ἐπειδὴν ἦ φῶς κὴ τοῦ φαίνεσ καρεωθῇ ὑπέργος ὤν, ὡς δύσιν βαδίζει. καλῶς δὲ εἶπε καρεωθῇ, ἐπειδὴ ὑπέργος φαινόμενος, πολὺν χρόνον ἀναλίσκει, τ' μὲν ἡμέρας ὥρας ἑξ, τ' δὲ νυκτὸς πάσης τὰς ἴσ. διὸ καλέντως εἶπεν, ἐπὴν καρέσηται, ὅτι τοσοῦτον χρόνον ἀναλίσκει φαινόμενος. ἀνατέλλει ἦ τῇ παρθένῳ περὶ ἕκλιν ὥραν ἡμερινήν, εἰ καὶ ὑπόθεσιν ἐν καρκίνῳ λαβωμὲν τὸ ἥλιον· δύο ἦ ὥραι καρκίνου, λέοντος δύο, παρθένου δύο· ὥστε περὶ ἕκλιν ὥραν ἀνατέλλει. ἐπὶ γοῦν τούτου

τ' ἡμέρας λοιπὰς ἐξ ὥρας· ὁ δὲ τὴν ὑπερηλίαν ἐστὶ, καὶ τὰς τ' νυκτὸς δώδεκα, ἕως ἂν εἰς τελείαν δύσιν ἔλθῃ· ἕως γὰρ ἂν οἱ δίδυμοι ἀνέλθωσι, φαίνεται· ὁ δὲ τοῖς διδύμοις, τὸ τ' νυκτὸς συμπέρασμα· ἐπεὶ οὖν ὅλας ιή· ὥρας μηνὸς φαινόμενος ὑπέργειός ἐστι, λέγω τοῦτο εἰπεῖν, ἐπειδὰν ἡ φωτὸς χορεδὴ, λοιπὸν πάλιν μέλλοντος καρκίνου ἀνατέλλειν, τῇ δύσει πλέον ἔχει τοῦ σώματος. Βελυτὴ ἐπίχει) Τυτέστιν ὅταν ἀναχωρήσῃ τὸ ὑπὲρ γῆν μέρος, καὶ παυδυσίαν ποιήσῃ, ὑποδιαμοιράνει τῇ μεσονυκτίῳ, τυτέστι τοῖς ς'. ὥραις τ' νυκτὸς ἄλλας ὥρας δύο· ὥστε ὁ ὀκτὼ ὅλαις ὥραις γίνεται αὐτοῦ τοῦ παντελῆ καταδυσιν. διὸ εἶπε, Κεῖναί τοι ὁ νύκτες ἐποψὲ δύονται λέγειν). ἐπεὶ μακροβώτιον ποιεῖ) τὸν καθάδυσιν. βελυτὸν δὲ λέγει τὸν ἑσπέραν, καθ' ὃν οἱ βόες λύονται. ἤτοι, δίχα νυκτὸς ἰούσης, τοῦτό φησι, τὸ διπλασίου τῆς νυκτὸς καιρὸν ἀνύειν πορευόμενον ὁ τῆς ἡμέρας. καὶ ἀπὸ τούτου ἐδίδαξεν ἡμᾶς, ὅτι ἐξ ὥρας ποιεῖται τὰς ἡμέρας, τῆς δὲ νυκτὸς ιβ'. φησὶν οὖν, ἐπειδὰν ὁ φωτὸς χορεδὴ, σὺν τῇ δύσει λοιπὸν ἔχει τὸ πλέον τοῦ σώματος, ἐπειδὴ ἄκρα αὐτοῦ ἡ κεφαλὴ ἀπολέλειπε), ὁ χέρες, τ' νυκτὸς ζυγινικαῦται διπλάσιον ἰούσης τ' ἐξ ἡμεραινῶν ὡρῶν. ἢ ὅταν τὸ πλέον τοῦ ἡμίσεος τῆς νυκτὸς παρέλθῃ, εἰς δύο αὐτῆς τιμνομένης, τοῦ καρκίνου ἀνατέλλοντος, τότε ὁ ἀρκτοφύλαξ, ὁ μὲν ὑπὲρ γῆν ὀλίγον, τὸ δὲ σὺν τῇ βελυτῇ, τυτέστι σὺν τῇ δύσει ὁ ὑπὸ γῆν, πλέον ἔχει· ἐμβραδύνει δὲ καὶ ἐγχρονίζει τῇ βελυτῇ, ἤγουν τῇ δύσει, δυοῖν πλέον ἢ ἡμίσεως τ' νυκτὸς, εἰς δύο αὐτῆς τιμνομένης, ὑπονύκτιον τοῦ ἡλίου δύοντος ὁ αὐτὸς δύνηται. Ἐποψὲ δύοντι λέγηται) Ὀψὲ δύνων ἐστὶν ὁ βοώτης ἀπὸ τ' ὡρῶν τ' τεσσάρων μοιρῶν, τυτέστιν ἡ· ὥρας ἐπίχει· ὃν καὶ Ὅμηρος, Ὀψὲ δύοντα βοώτην φησὶν, ἀντὶ τοῦ βραδέως δυόμενον· αὖται δὲ μάλιστα αἱ φερόμεναι ὀψὲ δύοντος ἂν κληθείησαν, ὑ μάλιστα ἀπὸ τοῦ τῆς κάτω φέρεσθαι ὀκτὼ ὥρας ἐπίχει· ἀλλ' ὅτι καὶ ἡ· ὥραις γεγόνασιν, ἕως ἂν δύῃ) παντελῶς. αὗται δὴ οὖν αἱ νύκτες μάλιστα ἐποψὲ δύοντι ἂν κληθείησαν. Ὡς, οἱ μὲ, δύνασι) Τοῦτον τὸν τρόπον οἱ περιημμένοι δύνουσι, ὁ στέφανος, ὁ ὑπὸ γῆν ὢν, καὶ ὅστε περιέπειν. εἰπὼν δὲ περὶ τ' ἀπὸ δύσεως διδύμου ζῳδίων σημείων, νῦν καὶ περὶ τ' ἀπ' ἀναβολῆς λέγει. ἀνατέλλει οὖν, φησὶν, ὁ ἀρίων λαμπρὸς ὢν καὶ τῶν ζώνιων καὶ τοὺς ὤμους· ἔχων δὲ καὶ ὑπὸ τῷ ξίφει λαμπροὺς ἀστέρας, καὶ σμικραναφέρων ποταμὸν, κέρας ἄλλα, τυτέστι τὰ ἀνατολικὰ, Ὁ δὲ ἀνὴρ) Τὰ μὲν οὖν περιεπόμενα ζῴδια ἀνατέλλοντι τῇ καρκίνῳ αὐτίκα δύνει· ὁ δὲ ἀρίων σμικραναπέμπει αὐτὸν, σὺν ἀσπίδι, ἀλλὰ καὶ τῶν ζώνιων δύο λαμπρὰ ἔχων, καὶ τοὺς ὤμους, καὶ τὸ ξίφος· ἀνατέλλει δὲ σὺν τῇ ἡνιόχῳ τῷ ἁμαξῷ, καὶ ὅλως θεωρεῖται ὑπὲρ τ' ὀφθαλμοῦντα.

Ἐρχομένῳ δὲ λέοντι, τὰ μὲν κ' τ' πρόσθια φέρηται
Καρκίνῳ ὄν τ' ἐδύοντο· καὶ αἰεί· αὐτὰρ ὅγε γυίῳ
Ἡμισυς, ἄλλα μὲν ἤδη, ἀταρχήν δ' ὀπίσω λαγόνων
Οὔπω

Οὔπω κυμαίνοντος ἐπισφρέφῃ ὠκεανοῖο.
Αντέλλῃ δ' ὕδρης κεφαλὴ, χαροπός τε λαγωός,
Καὶ τροχιῶν, περὶ τε πόδες κυνὸς αἰθομένοιο.

Ερχομένῳ δὲ λέοντι) Ανατέλλοντος δὲ τοῦ λέοντος, ὅσα μὲν ἀνατρέδωσι τοῦ κριοῦ, παντελῶς πιεῖ τὸν κατάδυσιν· δύνῃ δὲ ὁ ἀετὸς ὅλος· τοῦ δὲ ὠὺ γόνασι, τὰ μὲν ἄλλα μέρη δέδυκε, τὸ δὲ γόνυ τὸ λαγοῦ, ἐν ᾗ κνήμῃ, καὶ ὁ πους ἀκμὴν εἰσιν ὑπὸ γῆν. Αντέλλει δ' ὕδρης κεφαλὴ) Συνανατέλλει δὲ τοῦ λέοντι ἡ κεφαλὴ τῆς ὕδρας, ὁ λαγωὸς, ὁ περὶ τοὺς πόδας κύων, καὶ τὸ μεγάλα κυνὸς οἱ ἐμπροσθιοι πόδες. τὸ δὲ χαροπὸς, ἤγουν λαμπρός. καὶ ὠὺ τῇ ἀναβολῇ δὲ τοῦ κυρίνου, ἡ κεφαλὴ τοῦ λαγωοῦ ἄκρως ὠὸ ἀνατείλασα· αὐτὶ ἐπειδὴ ἐδυνάθη ὠὸ ἄκρας μόνης κεφαλῆς μνημονεύσαι, ἔτυ μικροῦ ἄκρου, ὅτι σὺν τοῦ λέοντι πᾶσα ἀνῆλθεν, εἶπε καὶ ἐμνημόνευσεν.

Οὐ μέν θην ὀλίγοις γαίης ὑπὸ ἰσιάτα βάλλῃ
Παρθένος ἀντέλλουσα, λύρη ὅτε κυλλήνιος,
Καὶ δελφὶς δινώσι, καὶ ὑδροχόος ὀϊστός·
Σὺν τοῖς, ὄρνιθας ποδοῖα πλεκὰ μέσφι πρὸ αὐτῶν
Οὐρίῳ, ἐν ποταμοῖο πλημυρείαις σκιόωνται).
Δινῷ δ' ἰσοπείη κεφαλὴ, δινῷ ὑπὸ καὶ αὐχήν·
Αντέλλῃ δ', ὕδρη μέν, ὅτι πλέον ἄχει παρ' αὐτόν
Κρητῆρα· φθάμενος δὲ κύων πόδας αἶψα) ἄλλοις,
Ελκων ἐξόπιθεν προμνᾷ πολυτειρέος ἀγρῶς.
Η δὲ θέῃ γαίης ἴσον διχόωσα κατ' αὐτὸν
Παρθένος, ἦμος ἅπασα περαίθεν αὐλὶ γλύπται.

Οὐ μὲν θην) Περὶ τῆς τοῦ λέοντος φαύσεως ἱκανῶς εἰπὼν, λοιπὸν καὶ περὶ ἀνατολῆς τῆς παρθένου τεκμήρια δίδωσιν. ἡ δὲ παρθένος ἀνατέλλουσα, σὺν ὀλίγους ἀστέρας ὑπὸ τὸ ὀφίζοντα βάλλει, ἀλλὰ πολλοὺς εἰς δύσιν κατάγῃ, καὶ λέγῃ ποίους· ἡ μὲν ἀρκτικὴ τοῦ Ερμοῦ λύρα, καὶ ὁ δελφὶς, καὶ ὁ ὑπὸ τὸ ἀετὸν ὀϊστὸς· οὗτοι γὰρ ὑπὸ δυσμὰς φέρονται σὺν τοῖς καὶ τοῦ κύκνου τὰ περὶ τὴν οὐρὰν καὶ ἄκρους τοὺς ὤμους ἄχρι καὶ

καὶ τῆς οὐρᾶς δύνει· καὶ τὸ ἡνιοχοῦ τὸ ἄκρον ἀρχεται σκιάζεσθαι· λοιπὸν γὰρ καὶ ἡ ἀρχὴ τοῦ ἡνιόχου εἰς δυσμὰς φέρεται· παρησείας δὲ τὰς ἄκρας φησὶ· καὶ τὸ ἵππον δὲ ἡ κεφαλὴ δύνει. ἀνατέλλει δὲ ἡ ὕδρα ἐπὶ πλέον, ἕως τοῦ κρατῆρος. ἀναφέρονται δὲ οἱ ὀπίσθιοι πόδες τοῦ κυνὸς, καὶ ἡ πτύελα τῆς ἀργοῦς. ἐμφαπτικῶς δὲ εἶπεν, ἕλκων ἐξόπιθεν πτύελα. ἡ δὲ, ἡμί τομος οὖσα, καὶ μέχρι τοῦ ὀίσου κατηστερισμένη φαίνεται, ὅταν ἀνατέλλῃ ὅλη ἡ παρθένος. Ὑπὸ νείατα βάλλει) Ἰκμενῶς πάνυ τὰ ἀνατολὴν παρθένου πεπυσμένοις ὑπιξελθών, ἐπὶ ζυγὸς χηλὰς ἔρχεται), καὶ φησιν, ἐπεξόμενος δὲ αἱ χηλαὶ, καὶ μέλλουσαι ἀνατέλλειν, εἰ μὴ λεπταὶ φαίνοιντο καὶ εἰσὶν ἀμαυραὶ, ἀλλ' οὖν εὐδιαρῶς ἄγνωστοι καὶ ἀκροχάλινοι παρέρχονται, ἐπειδὴ μετ' αὐτῶν πεπυσμένος ὁ βοώτης ἅπας ἀνατέλλει, καταλαμπόμενος ὑπὸ τοῦ ἀρκτούρου, ὅς ἐστι μέρος αὐτοῦ· κεῖται) δὲ παρὰ τὸ ἐν ζυγῷ μηνὸς ζῶμα· Φλάμβος δὲ κύων) Ὁ δὲ σείριος τοὺς ὀπισθίους πόδας ἀναιρεῖται, ἀνατιλάντων τῶν ἐμπροσθίων. Διὰ τοῦτο οὖν φησι φλέμβος, ὅτι τοὺς ὀπισθίους πόδας φλέγει ἀνατέλλων. Ἡ δὲ γένυς γαίης) Λείπει ἡ ὑπὲρ προθέσις, ἵν' ᾖ, ὑπὲρ γαίης· ἡ γὰρ ἀρχὴ φέρει) ὑπέργυος, καὶ τὸ ἐστὶν διχαζομένη· ὁ γὰρ ἵσος ἐπ' ἄκρου ἐστὶ τοῦ διχοτομήματος. ἐπεὶ ἡμίβολός ἐστι, ὁ δὲ ὦν τοῦ μέσου τῆς νηὸς ἐστι· διὸ καὶ ὁ τόπος ἔνθα κεῖται, μεσόδμη καλεῖται. ὁ δὲ λόγος, ἡ δὲ ἀρχὴ πᾶσα ὑπέργυος φέρει), ὅπως καλῶς ἐστὶν ἔχειν διχοτόμησις, ἐπηνίκα πᾶσα ἡ παρθένος ἀνατείλῃ. ἐξαμόθεν δὲ, ἤγουν ὅτε τοῦ ὑπὸ γαῖαν μέρους ἀνέλθῃ εἰς ἀνατολάς.

Οὐδ' ἂν ἐπερχόμεναι χηλαὶ καὶ λεπταὶ φάωσιν,
Ἀφραστοι πρίοιεν, ἐπεὶ μέγα σῆμα βοώτης
Ἀθρόος ἀντέλλῃ βεβολημένος ἀρκτούρῳ,
Ἀργὼ δ' ὑμάλα πᾶσα μετήορος ἐστὶ) ἤδη, 610
Ἀλλ' ὕδρη (κέχυται) γὰρ ὅτ' ἠελίῳ ἐπιθρῴσκῃ πολλὴ)
Οὐρῆς ἂν δεύοιτο, μόνοι δ' ὅτε χηλαὶ ἀγῆσι
Δύνοι ἐφεσπόμεναι ὀφιούχεα, τοῦ μὲν ἔπειτα
Δεξιτερὴν κνήμην αὐτῆς ὑπερωιόθος ἄγχει
Αἰεὶ γυὺξ, αἰεὶ δὲ λύρη ὑποπεπλήσατος.
Οἷ πινα τοῦτοι ἄϊστοι ὑπουρανίων εἰδώλων
Ἀμφότερον δυόωντα, καὶ ἐξ ἑτέρης ἀνιόντα,

Πολλάκις

Γολλάκις αὐτοιυχεὶ ϑηϐύμεϑα. τῷ μὲι ἄρ' οἵη
Κνήμη στιὼ χηλῇσι φαείνε῀ι ἀμφοτέρῃσιν.
Αὐτὸς δ' ἐς κεφαλὴι ἔπι που τετραμμένος ἄλλῃ,
Σκορπίον ἀντέλλοντα μετὰ ῥύτορα δέξιϐ·
Οἱ γὰρ μὶν φορέοισιν, ὁ μὶ, μέσον, ἄλλα τε πάντα.
Χϑρα δὲ οἱ σκαιῇ κεφαλῇ ϑ' ἅμα τόξον ἀγιᾷ·
Αλλ' ὁ μὶ, ὥς τε ἴχα πάντα καταμϑηεῖσι φορεῖ῀ι
Ημισυ δὲ τεφάνοιο καὶ αὐτῆι ἕκατον ϑρὶι,
Κενταύρου φορέοισιν ἀειρόμϑαι ἔπι χηλαί.
Τῆμος ἀποιχομέιῃι κεφαλῆι μετὰ δύε῀ι ἴππος,
Καὶ τετράπεδον ὄρνιϑος ἐφέλκεται ἕκατος ϑρή.
Δωδεκὰς ἀνδρομέδης κεφαλή· ϑ' δὲ οἱ μέγα δεῖγμα
Κήτεος ἠερόφι ἐπάγει νότος, ἀνδία δὲ αὐτῆς
Κηφῆς ἐκ βορέω μεγάλη ἀνὰ χϑεὶ κελεύων·
Καὶ ϑ' μὶ ἐς λοφιὴι τετραμμένον ἄγει πρὸς αὐτήι
Δωδεκὰς ἀπὰρ κηφῆς κεφαλῇ, ϑ χϑεὶ, καὶ ὤμῳ.

Οὐδὲ ἂν ἐκφεύγοιμι) Ἀλλ' οὐδὲ αἱ χηλαὶ ἐκφεύγουσιν, τουτέστιν ἀναπίπτουσιν, ἀσημειώτους ἐαυτὰς ποιοῦσιν. σκωπτικῶς γὰρ αὐτῆς ὁ βοώτης. ἀφρόϑ δὲ εἶπε, τὴν ἰδιότητα τῆς ἀναφορᾶς δηλῶν, ὅτι τὰ μὲν πολλῷ χρόνῳ δύνοντα ἀφρόως ἀνατέλλει· ἐν δὲ τῷ ἐναντίῳ, τὰ ταχέως δύνοντα, πολλοὺς χρόνους ἀναβάλλει, ὡστε ὠφέλιμον· ἡ δὲ ἀέρῳ μεμιγμένος ἤδη πᾶσι· μέρη γὰρ αὐτῆς σκωπτικῶς τῷ λέοντι· ὥστε ὁμοῦ τῆς χηλαῖς πᾶσιν ἀναπεπλεκέναι. τὸ δὲ, ἐ μάλα πᾶσι, φησὶν, ἐπειδὴ οὐχ ὅλη κατησέλεται, καθὰ εἴπομεν, ἀλλ' ἡμιτόμως. τὸ δὲ βεβολημένῳ, ἀντὶ τοῦ καταλαμβανομένως, ἢ καταλαμπομένῳ τῷ ἀρκτέρῳ. Χηλαὶ καὶ λεπταὶ φάσθαι) Ἐπειδὴ εἶπεν, ὅτε ἄνεισιν ὁ λέων, ἡ κεφαλὴ τῆς ὕδρας φαίνε῀ι), ὅτε ἡ παρθένος ἀνατέλλει μέχρι τοῦ κρατῆρος, ὅτε αἱ χηλαὶ, λοιπὸν ὅταν τὸ σῶμα πολὺ μένῃ τῆς ἄκρας ἑῴας, ἐπάγει εἰκότως, ὅτι πολλὴ ἡ τοῦ ὑδατώδους κεφαλή. οἱ δὲ τοῦ ἀέρος ἐ μάλα πᾶσι, οὔτως

πως ἤκουσεν, ὅτι ὁ Στιλβωνικαῦται ἡ ἀρ-
χὴ ἐστι μετέωρος, ἀλλὰ καὶ πρὶν τὴν
πᾶσιν ἀνελθεῖν παρθένον· ὅτε μέντοι
ἡ πᾶσα ἀνέρχε), τότε κἀκείνη,
καὶ ἡ ὕδρα ὁλοχερῶς φαίνε). Αἰεὶ
γνὺξ) Τοῦ δὲ ἀεὶ παντὸς γνὺξ
πεπλησ-, λέγει δὲ ᾧ ἐν γένασιν,
αἱ χηλαὶ ἀνιᾶσιν, μόνῳ τῷ δεξι-
ερῷ κνήμῃ μέχρι τ ἐπαγωνίδος
ἄγουσι. τὸ δέ, αἰεὶ λύρη, ὡσὸς τὴν
διδασκαλίαν ἐστι τ ᾄσεως· ὠλη-
σίον γάρ ἐστ λύρας· καὶ ἔοικεν ὁ-
κλάζοντι πλησίον αὐτῆς, καὶ ἐν τοῖς
πρώτοις δὲ εἶπεν, Γεγαπὶ οἱ σκαφῶ
πελάει. Ἀμφότερον δύνοντα) Δύνειν φησὶ τ ἐν γένασι, καὶ ἀφ᾽
τῆς αὐτῆς νυκτὸς ἀνιέναι, ἐπειδὴ τ
ἀμφιφανῶν ἀστέρων ἐστιν, ὃν συμβέ-
βηκε ἀφ᾽ τ αὐτῆς νυκτὸς θεωρεῖαθ ἐ
ἀνατέλλοντα καὶ δύνοντα· ἀμφιφανῆ
γὰρ τὰ ἐπιδέξια τῦ θερινοῦ τροπικοῦ,
ὅσα ἀρχομένης νυκτὸς ἀνατέλλοντα
φαίνεται, ὡςπὸς καὶ ὁ ἀρκτοῦρος. ὁ
δὲ, πολλάκις αὐτονυχεῖ, ἀντὶ ᾧ κα-
τὰ τὴν αὐτὴν νύκτα· μεταξὺ γὰρ τοῦ
ἀρκτικοῦ κατησέρισεν, ὃν εἵρηκεν
ἀμφιφανῆ τυγχάνειν καὶ μεταξὺ
τοῦ θερινοῦ τροπικοῦ, ὃν παρέδω-
κε πέντε μέρη τ ὁκτὼ ὑπάρχοντα
ἴσης, καὶ τέσσαρα ὑπόλοιπα. ὅταν οὖν
ὁ ἥλι- τ χειμερινὸν τροπικὸν διο-
δεύῃ, ἔχοντ- αὐτῦ τ ὁκτὼ μερῶν
τὰ πέντε ὑπάρχοντα, ἃ δὲ τέσσα
ὑπάρχοντα, τῆς νυκτὸς κατ᾽ ἐκεῖ-
νον τ καιρὸν ιε΄. ὡρῶν γινομένης, ὁ
ἐν γόνασι μεταξὺ ᾧ θερινοῦ καὶ τοῦ
ἀρκτικοῦ κύκλου πεζογραφέ- καὶ
ἀπεναντίον- ἤδη ἀφ᾽ τῆς ἡ-
μέρας τὸ ὑπόλοιπον μέρος ποιῆσθαι,
δύνας ἀπὸ α΄. ὥρας τ ἡμέρας, ἀναλ-
λάττων καὶ ἀπὸ ὥραν β΄. τ ἡμέρας
ἀναπίλλων θεώμενα σὺν τοῖς χη-
λαῖς καὶ τῷ τοξότῃ, οἷς συναναπέμπει
καὶ τὸ ἥμισυ τῦ στεφάνου, καὶ ἡ
ἀρὰ τῦ ταύρου. Τοῦ δ᾽ αὖ οὖν)
Σὺν τοῖς χηλαῖς, φησι, τὸ ἐν γόνασι
σὺν ἡ κνήμη φαίνεται, μειλουσῶν·
ἀνιέναι τ χηλῶν· Αὐτὸς δ᾽ ἐς κε-
φαλὴν) Κείμενός, φησιν, ἐν τῇ ἀ-
ναπλῇ ὑπὸ δέχε) τοὺς τῦ σκορπίου ἀ-
ναπλοὺς καὶ τὸ τοξότου· οὗτοι γὰρ τέ-
λεον αὐτὸν ἄρσει· τοῖς μὲν γὰρ χηλαῖς
ἡ κνήμη αὐτὸ συναναφαίνεται, τὰ
δὲ μέσα τῷ σκορπίῳ, ἡ δὲ ἀριστερὰ
χεὶρ ἅμα τῇ κεφαλῇ ᾧ τοξότου, ὥστε
τελεῖ ζωδίοις αὐτὸν συναναφαί-
νεσθ· Τῆμος ἀπιχρυσόλυρος) Ἐν τῷ
ἀνιέναι μέλλειν τὴν παρθένον, ἡ κε-
φαλὴ τῦ ἵππου εἰς δυσμὰς κατε-
νεχθεῖσα μόνη, νῦν μειλυσῶν τ
χηλῶν ἀνιέναι συὺ ἡλίῳ, ἔστιν ἰδεῖν τ
πάντα ἵππον σὺν ἡλίῳ δύοντα. διὸ
φησι, τοτὲ Στιλβωνικαῦται μὴ τὴν παρελ-
θοῦσαν ἑαυτοῦ κεφαλὴν καὶ δύσα-
σαν, ὁλοχερῶς ὁ ἵππος ὅλ- δύε)·
ὁ δὲ, πρότερον ὄρνιθος ἐφέλκε) ἔ-
χαμος κρὴ, εἶπεν, ἡ ἀφ᾽ τὴν θέσιν·
ὁῦ γὰρ ἵππου ἐπιπροσθεῖν ἐστι κατὰ
τὴν θέσιν, ἢ ὡσὸς ἀντιδιαίρεσιν καὶ
σύγκρισιν ᾧ ἀετοῦ· βορειότερο- γὰρ
αὐτῦ ὁ κύκν-. τὰ δὲ βορειότερα,
ἐ ἀνώτερα, ἐπεὶ πρωναλέλκει τ
νοτίων· ἄνω δὲ τὰ βόρεια, ὅλ μετεω-
ρότερα, ὡς πρὸς τ ὁρίζοντα.
Δυώδεκα δ᾽ ἀνδρομέδης) Δυώδεκα δὲ ἡ
τ ἀνδρομέδης κεφαλὴ· τ δὲ νοτίων,
τὸ κῆτος, ὥςπερ ἐπ᾽ αὐτὴν καταφέ-
ρεται. ὁ δὲ κηφεύς, ὥςπερ ἀπεσθεὼς
τὸ κῆτος φαίνεται. τῦ μὲν οὖν κήτους
τὰ μὲχρι τῆς λοφιᾶς δύνῃ, ᾧ δὲ κη-
φέως ἡ κεφαλή. Τὸ δὲ οἱ μέγα
δεῖγμα) Ἐπάγλ τῇ ἀνδρομέδῃ ὁ
νότος τὸ κῆτος· σωδυόμενον γὰρ δοκεῖ
ὡςπὸς ἐπ᾽ αὐτὴν ἀποδύειν. τὸ δὲ ἠε-
ρόεις, ἀχλυώδης, καὶ χειμερινὸς,
ἐ σκοτεινός· ἐν γὰρ τῷ χειμῶνι πνεῖ
μᾶλλον. Αὐτίκα δ᾽ αὖθ) Ποιητι-
κῶ), καί φησιν ὀπτεύειν τ κηφέα
τὴν

τῷ χείρᾳ, ὡς τῷ παρακελεύ-
ρθαι τῇ παιδὶ σκολίαν τὸ κῆτος,
ἐπειδὴ σὺν αὐτῇ κατῆλθε. Καὶ
τὸ μὴ ἐς λοφιὰν) Καὶ τὸ μὴ κῆτος

μάχῃ, ὥμων καὶ γήθυος δύῃ· ὁ δὲ
κηφεύς, μόνῃ τῇ κεφαλῇ· τὰ δὲ
λοιπὰ αὐτοῦ, ἄδυτα, ὅτι ἔνδον ἐστὶν ὑ
τῇ θορυβῳ.

Καμπαὶ δ' ἂν ποταμοῖο, καὶ αὐτίκ' ἐσχομένοιο
Σκορπίος, ἐμπίπτοισιν ἐυῤῥόου ὠκεανοῖο,
Ος καὶ ἐπερχόμενος, φοβέει μέγα ὠρίωνα·
Ἄρτεμις ἱλήκοι, πρωτέρων λόγος, οἵ μιν ἔφαντο
Ἑλκῆσαι πέπλοιο χάῳ, ὅτε θηρία πολλὰ
Καρτερὸς ὠρίων σιβαρῇ ἐπέκοσμε κορωνῇ,
Θήρης ἄρρηκτος, κείνῳ χάριν οἰνοπίωνι. αἰνο-
Ἡ δὲ οἱ ὀξὺ αὐτῆς ἐπετείνατο θηρίον ἄλλο, -λαῖ
Νήσου ἀναῤῥήξασα μέσας ἑκάτερθε κολώνας,
Σκορπίον, ὃς ῥά μιν ὄπα, καὶ ἔκτανε πολλὸν ἐόντα,
Πλησίστερος πρωφανείς· ἐπεὶ ἄρτεμιν ἤκαχεν αὖ-
Τοιωὐνεκα δὴ καὶ φασὶ περαιόθεν ἀρχομένοιο (τιὸ
Σκορπίου, ὠρίωνα πρὸ ζόνος ἔκπαγλα φοβεῖσθαι.

Καμπαὶ δ' ἂν ποταμοῖο) Ἅμα τῷ σκορπίῳ ἀνατέλλοντι αἱ τῶ ποτα-
μοῦ κάμπαι δύνουσι, καὶ ὁ ὠρίων, ὃς κυνηγετῶν πρὸ Χίου, τὴν Ἀρτε-
μιν ἐθηράσατο, καὶ ὑπ' ἐκείνων ἀπώλετο. ἡ δὲ θυμωθεῖσα, παρευθὺ
σκορπίον ἐκ τῆς γῆς ἀνέδωκεν, ὑφ' οὗ ἐπλήγη ὁ Ὡρίων· καὶ
νῦν οὖν ὡς μὴ φόβον ἀνατέλλοντος σκορπίου, ὁ ὠρίων δύνει. Ος
καὶ ἐσχόμενος) Ὅτε ὁ σκορπίος ἀνατέλλων, σκηφοβεῖ καὶ εἰς δυσμὰς
δύνει τὸν ὠρίωνα. εἶπε δὲ πάλιν βιαφε-
λῶς τὴν ἱστορίαν, δηλονὸς ὅτι δεῖ μὴ
ἀσεβεῖν, ἐξ ὧν ὁ ὠρίων πέπονθεν.
ἀρχόμενος δὲ τῆς ἱστορίας, ἐξάρ-
χεται τὴν Ἄρτεμιν, ὅτι ἄρχεται
λέγειν ὡς ὑπ' ἀνθρώπου ἐθηράζετο. καὶ
ἀφοσιῶται αὐτὴν λέγων, ὅτι τὰ πα-
λαιοτέρων ἐστὶν ἡ φήμη, καὶ οὐκ ἐμὴ.
ἐσφόδρα ἀσεβὲς αὐτὸ πεποίηκε.
βιαφελῶς δὲ σκηφέμενος τὴν ἱστορί-
αν, ἐξ ὧν πεπόνθαμεν δείκνυ-
σιν ὅτι ἐδὲ λόγῳ ἡμῖτον (ἀ τοιαῦτα
λέγειν, μήτε δὲ καὶ πρόσθεν. ἔχει δὲ
ᾠδὴ ἡ ἱστορία ἀπ' ἀρχῆς, Οἰνοπίωνα ὁ
Διονύσου καὶ Ἀριάδνης παῖς ὁ Χίῳ
τὴν νῆσον ᾤκει, ταύτης βασιλεύων.
αὐτὴ ἡ Χίος ἔχει πόλεσιν ἑπτὰ, ὡς
ἐν λόγῳ τὸ πολύθρυλλον αὐτὴν εἶναι, ὁ-

φιοῦται

φιοῦσιν κληθῆναι. ὡς χάριν τίνων Οἰνοπίων] ἦλθεν ἀπὸ Βοιωτίας ὁ Ὠρίων, ἄθλιος ὢν κυνηγός, ὅπως καθέλῃ τὴν νῆσον. ἔχων δὲ σὺν αὐτῷ τὴν Ἀρτεμιν κυνηγετοῦσαν, ἀνήσμως ἐβιάζετο. ἡ δὲ κολώνην τ νῆσον ἐποίησε Δαφραγένην, καὶ ἀναδῆναι τ σκορπίον, ὑφ' οὗ ὁ Ὠρίων πληγεὶς ἀπώλετο· καὶ κατηστερίσθη καὶ αὐτός, καὶ ὁ σκορπίος· ὡσαύτως δὲ καὶ ἐν οὐρανῷ δεδοικὼς αὐτὸν ὁ Ὠρίων, ἀεὶ φεύγει· καὶ ὅτε ἐκεῖνος ἀναβαίνει, ὁ Ὠρίων δύεται· ὅτε δὲ δύεται ὁ σκορπίος, ὁ Ὠρίων ἀναπέμπει. ὁ μὲν οὖν Νίκανδρος, τῆς τ θεῶν εὐσεβείας χάριν φησί, βραχύ πως φησιν εἶναι τ σκορπίον, δέκνυς ὅτι θεῶν βουλήσει καὶ μικρὸς ὢν, ἰσχύι κατὰ μέγεθος ἐστί. ἔτος δὲ ὁ Ἄρατος ἐκ τῆς ἀστροθεσίας καταμαθὼν τὸ μέγεθος, φησὶν ὅτι καὶ ὅλον ὅρος ἀνέρρηξεν, ἵνα ἀναδυῇ ὁ σκορπίος. Θήρης ἀρύομος) Ἤγουν θηριοσύμμετρος, ἀντικαθάλλαστόμβος, διὰ τὸ φονεύειν τὰ ζῶα, χάριν Οἰνοπίων. εἰ δὲ ἀνύμφου γράφοιτο, σημαίνει τὸ λαμβάνων. ἔστι δὲ ὁ ὠρίων καὶ ἀστερισμὸς τ σκορπίου. Ἡ δὲ οἱ ἐξ αὐτῆς) Ἡ Ἀρτεμις, φησιν, ἐξ αὐτῆς τ Χίου ἐπετείλατο ἀναδυθῆναι, βουλήσει ἐποίησε μείζονα ἄλλο, ὡς ὡς ἂν ὄντες σὺν τῇ Χίῳ, ὧν φόνον εἰργάσατο ὁ Ὠρίων. τὸ οὖν ἐπετείλατο, γράφεται καὶ ἐπετέλεσε. Πολλὸν ἐόντι) Ὁλίγῳ σφόδρα μείζας ἦν ὁ Ὠρίων, κατὰ τ Ὁμηρον ἔξεστι μαθεῖν· λέγων γὰρ τὸ μέγεθος τ παίδων τ Ἰφιμεδείας, συντόργιον κατὰ τὸ μῆκος ἐπιφέρει μεθ' ἑκάστου κλυτὸν Ὠρίωνα. Πλησίστιος ὡφθαναεὶς) Τὸν σκορπίον φησὶ πλείονα αὐτῆς μείζονα σχαζόμενος, ὅτι καὶ δύο ἄστρων μῆκος ἐπέχει, καὶ ἑξηκοντάμοιρός ἐστι μήν. Ὠρίωνα δεῖ χθονὸς) Καὶ αὐτὸς ἀπ' αὐτῶν τ λέξεων σφόδρα ὑπογράφει τ ὠρίωνα δεδιυῖα, τὰ τῆς γῆς ἔχατα καταλαμβάνειν, ὑπερβολῇ τ φόβου καὶ τ ἁλίας.

Οὐδ' ἐνὶ δυσρομέδης καὶ κήτεος οὐδ' ἐλέλιχθο,
Κείνῳ δ' ἀντέλλοντος ἀπαλθέες, ἀλλ' ἀέρα κάπτοι
Πνευσαλίη φύζησιν· ὁ δὲ ζώνῃ τότε κηφὺς
Γαῖαν ὀπιζύει, τὰ μὲν, εἰς κεφαλὴν μάλα πάντα
Βάπτων ὠκεανοῖο· τὰ δ' ὑψόμις, ἄλλα δὲ γαίῃ αὖται
Ἄρκτοι κωλύουσι πόδας καὶ γναμπτὰ καὶ ἴξυα.
Ἡ ἧς δὲ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλιον
Δηλή καταπέπεια· τὰ δ' ὑκέλλει οἱ κτὶ κόσμον
Φαίνεται, ἐκ δίφρου πόδες καὶ χεῖρες ὕπερθεν·
Ἀλλ' ἤγ' εἰς κεφαλὴν ἴσην δύετ' ἀριθμὸν ἴσει

L Μέσῃ-

Μεσημβρίη γονάτων· ἐπεὶ οὐκ ἄρ ἔμβλεπει ἐκείνη
Δωρείδι ἡ Πανόπῃ μεγάλῳ ἀτειρ ἰσώσασθαι·
Ἡ μὲν ἄρ εἰς ἑτέρην φέρεται· τὰ δ' ἤδη μᾶλλον
Οὐρανὸς ἀμφιφερὴς στεφάνοιό τε δεύτερα κύκλα,
Ὑδρης τ' ἐχαπίνη, φορέῃ τ' ἐπὶ κενταύρειο
Σῶμά τε καὶ κεφαλήν, καὶ θηρίον ὅ ῥ' ὑπὸ χηλὰς
Δεξιτερῇ κένταυρος ἔχει. τοὶ δ' αὖθι μένουσι
Τόξον ἑπερχόμενον στερεῷ ἐπὶ ποσσὶν ἰόντα φηρός.
Τόξῳ δ' ἀστερίη ὄφιος, ἕ σαρὶ ὀφιούχου
Ἀντέλλῃ ὀπίσω. κεφαλὰ δ' αὐτὸς ἀγκὰς
Σκορπίος ἀντέλλων, ἁμὰ δ' αὐτῷ ὀφιοῦχου
Χεῖρας, καὶ στερεὴν ὄφεος πολυτειρέος αὐχένα.
Τοῦ τε μὲν ἐν γόνασιν στερεὸν δ' ἐπεσαμμένος αἰεὶ
Ἀντέλλῃ, ἵνα τε μὴ περάτης ὀξέρχεται ἄλλα
Γυιά τε, καὶ ζωνη, καὶ σφέα πάντα καὶ ὤμοι,
Δεξιτερῇ σὺν χειρί.

Οὐδὲ μὲν ἀνδρομέδης) Τότε καὶ τῆς ἀνδρομέδης καὶ τῶν κήτους ὅσα ὑπελείπετο τῇ τῶν χηλῶν ἀνατολῇ, καὶ τοῦ ὠρίωνος· τοῦ δὲ κηφέως τὰ μέχρι ζώνης δέδυκε· τὰ μὲν γὰρ ἄλλα ὑπὸ τῶν ποδῶν μέχρι τοῦ ὠμου· ὁ δὲ τῶν ἀετοῦ φανερὸς ἐστὶ κύκλῳ· ἡ δὲ ζώνη ἁπλῆ) ὡς ὀρίζοντος· τοῦτο γάρ ἐστι τὸ γαῖαν ἐπιψαῦον· ἄρκλους δὲ εἶπε τὰ ἀρκτικὸν κύκλον. Παυσυδίῃ φαύσουσιν) Ἡσιοδος δὲ τῷ πολιῇ καταγηρᾳ· ὁ γὰρ ὠρίων ὑγρόμβρος, ὁ δὲ τοῦ ἀετοῦ ἐδιδικέναι, τὸ στερεμνὸν αὐτῷ πάντα ἄστρα διώκει καὶ στερεοῖ. διὸ εἶπε, τοῖς πᾶσι τοῖς μὴ ὠρίωνος καπνοῦσι, τῷ δελτωτῷ, τῷ τοίχῳ, τῷ κηφεῖ, τῷ κασσιεπείᾳ. τὸ δὲ ἀπευθέες, ἀσκεπτοι καὶ παρημελημένοι. δεῖ δὲ νοεῖν, ὅτι καὶ αὐτοὶ, τό, τε κῆτος, καὶ ἡ ἀνδρομέδη, καταδεδύκασιν. Ἡ δὲ καὶ αὐτὴ παιδὸς) Λείπει ἡ μή, ἵν' ᾖ, μὴ τοῦ ἐδιδύλου τῆς θυγατρὸς αὐτῆς φέρεται ἡ Κασσιέπεια. οἱ δὲ πόδες αὐτῆς καὶ τὰ γόνατα ἐ κομίως φέρον), ἀλλὰ ἀκόσμως· ἐπὶ κεφαλὴν γὰρ δίκην κυδιώσης ἔβαλε. Μεσημβρίη γονάτων) Ἡγεν ὑπὸ τῆς δύσεως μεριζομένη κατὰ τὰ γόνατα· ὁ γὰρ ὁρίζων ἐ δέχεται αὐτῆς τὰ γόνατα, ὡς ἐπὶ

ἔρος σίλβει· διὸ καὶ διδίας ἐσὶ σημαντικός. Εἰ δ' αὔτως καθαρὸν μὲν) Ὁ νὸς ἔτως, εἰ καπὶ τὸ θλιῶδες καθαρὸς φαίνοιτο, καὶ ἀνέφελος δύνοι, καὶ ἡδὺς ἐκφαινόμενος, ἤγγελων ἐπὶ τλὼ αὔριον διδίαν ἔσαν. δείελον δέ φησιν αὔριον, ἐπειδὴ ἀπόκλισιν λαμβάνων, ἀμβλεῖαν ποιεῖται τ ἀκτῖν· καὶ λείαν τλὼ ἐπαφλώ· μαραίνει) ἢ τὰ τῆς θερμότητος· διὸ & δείελον σκληρὸν, ὡς σύδεδς ἔχων τ ἕλης, ἤγουν τ θερμασίας. ὅταν ἢν μάλιστα & θερμῷ ἐξαδενῶντ&, λαμφανὴς ὁ ἀὴρ ᾖ, ἔοικε κεκραπῆσθαι βιαίως καὶ ἀγνυσι τὰ νέφη περιψυξις· διὸ & εὐδίας ἐσὶ τὸ σημεῖον. Βυλύσι& δὲ ὠρίων, τλὼ δύσιν κίκλησκε. μαλακλὼ δὲ αἴγλλων, ἐπιδὴ τὸ πολὺ & πυρώδης αὐτῆ ὡς ἐσπέραν πέπαυ) & ἢ περὶ αὐτὸν ἀέρ& μηδεμίαν ἔχοντ& πύκνωσιν, ἀλλ' ὄντος ἀτρέπλε, καθαρὰ & ἡ ἀνατολὴ & ἡ δύσις γίνεται αὐτῆ. Ἀλλ' ἐχ ὁπόπότε κοῖλ&) Αἱ ἐν τῷ ἡλίῳ κηλότητες, σὺκ εἰσὶν αὐτῆ· φαυλασία δὲ εἰσὶ τῆς ὄψεως, κατ' ἐπιφορὰν ζοφερ& ἀέρ&· οὐ ἢ & μέσον ὁρᾶται, ἀλλ' ἡ κύκλῳ αἰγὶς λαμπρὰ δὲ ἔσα, δοκεῖ φερεφόρῳ εἰς & σκληρὸς, ὡς ἔμφασιν κηλότητος παρέχειν· ὃν τρόπον ἢ οἱ ζωγράφοι ἀντιγράφοντες γράφοντες, φῶτ τραχύτησι τλὼ ὕλιν, ἅπερ φύσει, τῆ μὲ λαμπρῆ φερεβάλλοντ& ἔξω & διαφωτῶντος τλὼ φαντασίαν, & δὲ μέλαν& ὑποσκιάζειν & βαθυώδη δοκητῶν· οὕτω καὶ περὶ τ ἥλιον, & φαρόμενον τῆς ὄψεως καπὰ ἀντίφραξιν τῆ ἀέρος, σκοτεινὴν τῆ μέσῃ λαμφερεῖ διὰ τὴν σκιὰν ποιεῖ ὑποφαίνεσ&. ἢ ὅτι & ἐμφερεθεν αὐτῆ ἰσάμενα νέφη μελανόμενα, ἀφ' τλὼ πολλὼ πύκνωσιν, τὴν κηλότητα ἀπιπλεῖ· πέφυκε γὰρ πάντα & ἀφ' & μελανᾶν ὁράμενα, κηλότητος φαυλασίαν ποιεῖν· καὶ γὰρ καὶ οἱ ζωγράφοι, ὅστε μὲ βέλτον) πρόσεχῆ δηκνύσαν, τῷ λευκῷ ἀπεγράφυσιν· ὅσα δὲ κοίλα & ἂν βάθει, τῷ μέλανι. ἐὰν οὖν, φησι, διῆτόν τ ηὐρύ), ἢ πὰς ἀκτῖνας μὴ κατ' εὐθεῖαν φερομένας ἔχῃ, ἀλλ' ἐγκεκλιμένας, καὶ πὰς μὲ, τῇ δὲ πεπαραμεμένας· πὰς δὲ τῇ δὲ· ὥστε συμβαίνει ὑπὸ τῆς τ ἀέρος παχύτητος, σὺκ ἐωμένων αὐτῶν κατ' εὐθεῖαν φέρεσθ, ἢ ἄνεμον ἰσθι ηὐτσόμενον, ἢ ὑετόν. ἀπὸ κοινοῦ δ' ἂν τὸ εὐδία&, ἵν' ᾖ, ἀλλ' σὺκ ἔσαι εὐδίος, ὅταν ἀναλέγων κεκοιλωμένον ἔχῃ τὸ μέσον τ κύκλ&, δηλονότι ὡσπερ κακωθέντος τ φωτός· ὃ δὴ συμβαίνει σὺκ τ & ἀέρος δυσκρασίας· ὡσπερ γὰρ καὶ ἐπὶ τ ὀφθαλμῶν, ὅταν συμβαίνῃ κοιλαίνεσθ αὐτὰς, δηλονότι ἐξαδενήσαντος & σώματ&· ἢ ὡσπερ ὅταν βλέφαρον καπάγοντες, ἢ σειθλίψαντες τλὼ ὄψιν, τῷ λύχνῳ σκοτεσάμωμεν, ὑ φαίνε) συνεχὲς τὸ φῶς, ἀλλὰ θλαίνει & ἀπορράδες αἰ αὐγαί· ὕτως ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλ& σκο & ἡλίῳ ᾖσα, σκιαθλίψῃ καὶ στίσῃ τ τ ὄψεως κῶνον, εἰς λοξὰς ἀκτῖνας & ῥομβοειδεῖς, ὃ πάσχομεν αὐτῇ τῇ αἰσθήσῃ, τὸν σκιὸν τ ἥλιον εἶναι δοκῶμεν· ὅπερ Πλάτωνος. Σχιζόμεναι βάλλουσιν) Εἰ οὖν σκ τ & ἀέρος παχύτητος δι' ὅλ& & κύκλ& αἱ ἀκτῖνες λαμφέρον), & αἱ μὲ σκοτόνον, αἱ δὲ σκὸς βορρᾶν βάλλουσι, τὰ δὲ μέσα & δίσκου φαίνεται ἀνδρὶ τινῶν ἀκτίνων, τότε δι' ὕδατ& ἡ ἥλι& ἔρχεται ἢ ἀνέμου. Τὰ δ' αὖ περὶ μέσα) Εἰ οὖν τὸ μέσον αὐτῆ φαίνοιτο μόνον, τὸ δὲ ἐκατέρωθεν ἀφ' νέφος πυκνότητα μὴ ὁρᾶτο ὁριζομένων τ ἀκτίνων, καὶ σκὸς βορρᾶν & νότ& πεμπομένων, καὶ τῦτο σωζήμασι πνεύματ& ἢ ὑετο.

Σχέτλιος

Σκέπτεο δ', εἴ κέ τοι αὐγαὶ ὑπεῖεν ἀὐ ἠελίοιο
Αὐτὸν ἐς ἠέλιον· τῦ γὰρ σκοπιαὶ κὴ ἄρειαι.
Εἴ τι που ἠὲ κὴ ἔρθυος ἐπιτρέχῃ, οἷά τε πολλὰ
Ἑλκομένων νεφέων ἐρυθαίνε) ἀλλοθεν ἄλλα·
Ἠ εἴπου μήναις, καί σοι τὰ μὲν, ὕδατος ἔσω
Σήματα μέλλοντος· τὰ δ' ἐρυθέα πάντ', ἀὐέμοιο.
Εἴ γε μὲν ἀμφοτέρωις ἄμυδις κεχρωσμένος εἴη,
Καί κεν ὕδωρ φορέοι, κὴ ὑπηνέμιος τελέοιτο.

Σκέπτεο δ' εἰ κέ τοι αὐγαὶ) Κατανοεῖν δεῖ, φησι, τὰ περὶ τὸν ἥλιον σημεῖα, σπατινίζοντας αὐτῷ τῷ κύκλῳ· οὕτω γὰρ γνώσεσθαι σαφῆ τὰ τεκμήρια. ἐὰν οὖν, φησιν, ἐρυθρὸς γένῃ), οἷαν χροιὰν συμβαίνει γίνεσθαι πολλάκις περὶ τοῖς νέφεσι, δηλοῖ τὸ αὐτὸ· ἡ μελανίζων, ὅταν μὲν ἀχλυωδέστερος φανῇ), ὕδωρ σημαίνει· ὅταν δὲ ἐρυθρὸς, ἀνεμους. ὅταν δὲ ἀμφοτέρας τὰς σημεῖα περὶ τὸν ἥλιον φαίνῃ), ὥστε μέρη μὲν αὐτοῦ κύκλῳ μελαίνεσθαι, μέρη δὲ φοινίσσεσθαι, τότε δεῖ κὴ ἀνεμων κὴ ὄμβρων προσδοκᾶν, ἢ ὅτι τὸ ἦ ἡλίου φῶς, ὅταν κρατηρὸν ᾖ, τὸ συγχωρεῖ ἀντωθεῖν τινι πρὸς τὰς ἀκτῖνας· ὅταν δὲ ἐξ ἀκρασίας ἀέρος ἐξαθενῇ, ὥστε δύνασθαι αὐτῷ προσβλέπειν. φησὶν οὖν, προσιέναι εἰς αὐτὸν, εἰ αὐγαὶ αὐτοῦ εἶεν σοι ὀφθαλμοῖς σου, καὶ ἐκ ζύγου γνώσῃ, ἀκρασίας ὕσης, ὡς χειμῶνός ἐστι σύμβολον. ὁ οὖν πεπυκνωμένος ἀὴρ τῇ πρὸς τὸ φῶς μίξει, ἐρυθραίνει), καὶ διὰ λεπτότητα πρὸς γλύσιν ἀνέμων ὀξύρροπός ἐστιν· ὁ δὲ συμπεπηγμένος μᾶλλον ὡς ἐπιμελαίνειν, τὸ μεταξὺ ἐστι τῆ διαθέσει τοῦ ἐξ ἀμφοτέρων μεταβολαίου. Τοῦ δὲ σκοπιαὶ) Τοῦ ἡλίου ἔξοχοί εἰσι καὶ ἐξώμβολοι αἱ σκοπιαί· οἷαι τὸ σκοπεῖν εἰς ἥλιον, καὶ ἐξ αὐτῆς δέχεσθαι τεκμήρια, ἄρειον ἐστι. πρόσεστι δὲ ὑγροῖς ἀνωλέθρου, Ἡελίῳ καὶ μᾶλλον ἐεικότα σήματα κεῖται. Εἴ τι που ἠ ἔρθυος) Εἰ δέ τι αὐτῶν ἡ ἔρθυος ἐπίκειται ζιζύφου, οἷον ἔχουσι καὶ νεφέλαι, ὅταν αὐτὸν τὸν ἥλιον περιέχωσι (λαμπόμβραι γὰρ ἐξ αὐτῆς, τοιοῦτο χρῆμα ἀπτελοῦσι) σύσσημα δὴ τὸ τοιοῦτο. καὶ ἔλθῃ εἰ μελαινεῖ, σύσσημα ἀπὸ χαινοῦ. μελάντερον δὲ καὶ ζοφωδέστερον εἶναι δοκεῖ αὐτῆς τὰ φῶς ἐκ τῆς πολλῆς τοῦ ἀέρος ἀποκειμένης ὑγρότητος. τὸ οὖν τεκμήριον τοῦ εἶναι αὐτὸν ζοφώδη, ὑετοῦ ἔσω σοι σημεῖον· τὸ δὲ ἐρυθρὸν, ἀνέμων.

Εἴγε μὲν ἀμφοτέρωις) Ἐὰν δέ φησιν, ἀμφοτέρωις τοῖς κατασήμασι, τῷ μέλανι καὶ τῷ ἐρυθρῷ, ἅμα καὶ κατὰ τὸ αὐτὸ ἐμπεπλεγμένον ὁ ἥλιος, καὶ τὸ μὲν αὐτοῦ μέλαν φαίνηται, τὸ δὲ, ξανθὸν, ἐκ τῆς ποικίλης δὴ τούτου ἀμφοτέρων προσβολῆς, καὶ ὑετὸν ἐσόμενον, καὶ ἄνεμον.

Εἰ δέ οἱ ἀνιόντος, ἢ αὐτίκα δυομένοιο
Ἀκτῖνες στείωσι, καὶ ἀμφ' ἐνὶ πεπλήθωσιν,
Ἢ ποτε καὶ νεφέων πεπιεσμένος, ἢ ὅτ' ἐς ἠῶ
Ἐρχῃ) πᾶσα νυκτὸς, ἢ ὄζ ποιεῖ ὅτι νύκτα,
Ὑδατί κεν καθιόντι πᾶσα τρέχοι ἤματα κεῖνα.

Εἰ δέ οἱ ἀνιόντος) Ἐὰν δέ, φησιν, ἀνιόντος τοῦ ἡλίου ἢ καὶ δυόντος, εἰς τὸν αὐτὸν τόπον στείνουσιν αἱ ἀκτῖνες, ἢ νέφεσιν αὐτὸς εἴη πεπιεσμένος, τὸ ζητούμενον ποιοῦ ὕδατος σημεῖον, καταπικραίνεται δηλονότι τοῦ ἡλίου ὑπὸ τῶν τοῦ νέφους παχύτητος. τὸ οὖν, ἀμφ' ἐνὶ πεπλήθωσιν, αὐτοῦ εἰς ἕνα τόπον συμφερόντων), ὅταν πεπληθυσμένου ὑπὸ νεφῶν, ἤτοι σκιάσῃ τὴν θερμότητος τὰς ἀκτῖνας, τὸ δὲ, ὕδατί κεν καθιόντι, ἐὰν ἀνατέλλοντος, φησιν, ἢ δύνοντος τοῦ ἡλίου, αἱ ἀκτῖνες σκιασθεῖσαι εἰς τὸ μέσον ἕλκωνται), ἢ εἰς ἕνα τόπον συμφέροντα, κωλοειδὲς τὸ σχῆμα ποιοῦσαι, ἢ ὁ κύκλος ὑπὸ τοῦ νέφους ἐπισκοθήται ἀνατέλλοντος καὶ δυόντος, ὑετὸν δεῖ προσδοκᾶν.

Μηδ' ὅτε οἱ ὀλίγη νεφέλη παρὲς ἀντέλλῃσι,
Τὴν δὲ μετ' ἀκτίνων κεχρωσμένος αὐτὸς ἀερθῇ,
Ἀμνηστεῖν ὑετοῖο. πολὺς δ' ὅτε οἱ περὶ κύκλος
Οἷον τηκομένῳ ἐναλίγκιος θρυόεντι),
Πρῶτον ἀνερχομένοιο, καὶ ἀμφ' ὀπὶ μείονι ἴσην,
Εὐδίος κε φέροιτο· καὶ εἴποτε χείματος ὥρῃ,
Ὠχρήσῃ καπνῶν. ἀπαρ ὕδατος ἠμεμονοῖο
Γινομένου, καθαπερ περὶ νέφεα σκοπέεσθαι.
Καὶ δὴ δυομένου τετραμμένος ἠελίοιο,
Ἢν μὲν ὑποσκιάσῃ μελαινομένη εἰκυῖα
Ἠέλιον νεφέλη, ταὶ δ' ἀμφίς μιν ἔνθα καὶ ἔνθα

Ἀκτῖνες

Ἀκτῖνες μεσηγὺς ἑλιοτόμβαι διχόωνται,
Ἢτ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.

Μηδ' ὅτε οἱ ὀλίγη νεφέλη) Καὶ ὅταν περιανατείλῃ ὀλίγη νεφέλη τοῦ ἡλίου, εἶθα αὐτὸς ἐπιφέρηται κεχρωσμένος, ὑετὸν προσδόκα· ἡ γὰρ ἂν ὕπω ταῖς ὄψεσιν ἡμῶν προσέπιπτεν, εἰ μὴ ἐπεπάχυντο ὁ ἀήρ. ἢ ὅτως, ἐὰν ἀνατείλαι μέλλοντος τοῦ ἡλίου, νεφέλη περιανατείλῃ μέλαινα ἐπισκιάζουσα, καὶ φλέγωνται περὶ αὐτὸν αἱ ἀκτῖνες, μεσουμένου τοῦ νεφέλου, καὶ χρώζουσαι, τὸ σωματεῖδες εἰς τοιοῦτον ὡς ἀκτῖνας, ὑγρότητα κατηρεῖ τοῦ ἀέρος· λεῖος γὰρ ὢν ἐπιπαρέχει τὴν ὄψιν, ὡς ἐν τῷ διακρύειν φαίνεσθαι τὸ φῶς ἢ κατεσκηνῶς, ἀλλ' ἐφαλλόμενον καὶ τρομώδες, εἴτε τοῦ λαμπροῦ ὑπὸ τοῦ ὑγραίνεσθαι σβεννυμένου περὶ αὐτὸν, εἴτε κλωμένης πρὸς τὸ ὑγρὸν αὐτῆς ἀπὸ τοῦ ἀνωμαλίαν. ὁ δὲ λόγος οὕτως οὐθὲν, σκόπει χειμῶνος σημεῖον, ὅταν ἡ ἀνατείλοντος, ἢ δυομένου ἡλίου, αἱ ἀκτῖνες συνέρχωνται, καὶ ἐν ἑνὶ μέρει τοῦ δίσκου πᾶσαι πληρῶνται καὶ φαίνωνται· ὑπὸ γὰρ τῆς τοῦ ἀέρος παχυμερείας συνάσεως, ἀναπεπόμβαι αἱ ἀκτῖνες, εἰς ἓν μέρος τοῦ δίσκου φαίνου), καὶ ἀφ' ἑνὸς μέρους φαίνουσιν· ἢ καὶ ὅταν ὑπὸ νεφῶν πιεσθεῖς ἔρχηται ἐπὶ τὰς ἀνατολὰς, ἀπὸ τῆς νυκτός· ἢ ὅταν ἐξ ἀνατολῆς, ἐπὶ δύσιν· τεκμήριον γὰρ ὡς ἐκείναι αἱ ἡμέραι ὑετοῦ εἰσι, καὶ ἔτι ὑετοῦ σημεῖον, ἐὰν περὶ μὲν ἀνατολῆς ἡλίου νεφέλη ἀνέλθῃ, δύῃς δὲ μετ' αὐτὸν ἐκείνου ἀναπτίλη. Πολὺς δ' ὅτε οἱ περὶ κύκλου) Περὶ τὰς ἀνατολὰς καὶ τὰς δύσεις δοκεῖ ὁ τοῦ ἡλίου κύκλος μείζων φαίνεσθαι. ἔστι ἡ αἰτία τοιαύτη, αἱ τῆς γῆς περὶ ἀνατολὰς καὶ δύσεις ἀναθυμιάσεις, ἀερώδεις εἰσὶ καὶ παχεῖαι. διὰ μέσου ἂν αὐτῶν αἱ ὄψεις πορεύονται τοῦ ἡλίου, παχύτερον δοκοῦσιν ὁρᾶν αὐτόν. ἀνιὼν δὲ ὁ ἥλιος καὶ ἀπὸ τῶν ἀναθυμιάσεων χωρίζόμενος, καὶ εἰς τὸ ὑψηλὸν χωρῶν, δύεσκιάζεσθαι τὸ ἀέρος. καὶ ταύτῃ δοκεῖ πάλιν ὁ κύκλος αὐτοῦ ἐλάττων φαίνεσθαι. ὅταν οὖν, φησιν, ὁ κύκλος πολὺς δύρμὴν καὶ πλατύνηται, τηνικαῦτα καὶ διαλυομένης ὁμίχλης, ἀνερχομένου τοῦ ἡλίου, ἔπεσται μειοῦται), ὃ δήνεος ἂν δοκιμάζοιτο, καθαροῦ ὄντος τοῦ ἀέρος. ὁ δὲ νῦς, ἐὰν ἀνατέλλοντος τοῦ ἡλίου, νέφος περιανατείλαι κύκλῳ περιαιθρίου, ἐπὶ πλέον δύρυνή), δύδιαν σημαίνει διαχεῖ) καὶ ὁ κύκλος ὕστερος, νικώμενος ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων. τὸ δὲ ὅμοιον φησὶ γίνεσθαι, καὶ ἐὰν χειμῶνος ὑγροῦ δύηται, τὰ νεφῶν ὡσαύτως διαχεομένων ὑπὸ αὐτοῦ καὶ διαλυομένων. ἐὰν μέντοι γε δυόντος αὐτοῦ ἐπισωρευθῶσι νέφη, τῇ ἑξῆς ὕδωρ προσδέχου. πλειόνων γὰρ ἱκανῶς τοῦ ἀέρος, ἡ μεταβολὴ αὐτοῦ χαλεπὴ εἰς τὸ συγχυθῆναι αὐτοῦ τοῦ ὕδατος φύσιν· καὶ γὰρ ἡ τῶν νεφῶν πύκνωσις, οὐδέν ἐστιν ἄλλο ἢ πάχος ἀέρος ὑπὸ ὑγρᾶς πεπαχυμένης. συντυχὸν δὲ σημεῖα, ἢ ὁμόρων γίνεσθαι διὰ τὸ συγγένειαν, ἢ ἀνέμων· καὶ γὰρ ὁ ἄνεμος ὑδὲν ἄλλο ἐστὶν, ἢ ἀὴρ ῥέων, καὶ ποικὶν λαμβάνων κίνησιν, ὅθεν ἐκ τῆς αὐτοῦ τροπῆς συμβαίνει γίνεσθαι. Ὡχρήσῃ κριθὴν) Ἀπὸ κοινοῦ τοῦ, δύδιον φέρειν. παραδίδωσι δὲ ἑτέραν καταλήψιν δύδιας· ὅταν γὰρ διαλυομένης τῆς ὑγρότητος ἐκείνης,

καὶ

καὶ παχύτητος τοῦ ἀέρος, περὶς δυσμὰς ὁ ἥλιος χωρῶν ἀηδὲς ἔχει τὸ φῶς, δύδιός ἐστιν, ὡς περὶς τὸν τοῦ ἀέρος λοιπὸν Δφλυσιν. Αζωρ ὕδατος) Δυομένης δὲ τῆς ἡλίης σκόπει, εἰ ἔστι περὶ αὐτὸν νέφη στυγνὰ, ἃ δὴ ὑδατος ἡμιερινοῦ μὴ ταῦτά ἐστι σύμβολα, ἤγειρεν μὴ τὸν νύκτα ἐκείνην καὶ τὸν ἑπόμενον. Καὶ περὶ τὸν ἥλιον τὰ νέφη. ἡμιερινοῖο οὖν, τῇ ἑξῆς ἡμέρᾳ φαινομένης. Καὶ δὴ δυομένης τετραμμένου) Εἀν δὲ δύνοντα τὸν ἥλιον ὑποσκιάζῃ μέλανα νεφέλη, ἃ δὲ ἑκατέρωθεν αὐτῆς περιλαμβάνουσιν ἀκτῖνες, ἴσθι κατὰ τὸν ὑστεραίαν ἐσόμβρον ὑετόν. ἢ ὅτως, εἰ δύνοντα τὸν ἥλιον ἐπισκοπεῖσθαι ἑστηκυῖα νεφέλη ἐποσκιάζοι, αἱ δὲ ἀκτῖνες αὐτῆς ἑκατέρωθεν τῆς νέφους ῥίζονται, χειμῶνα περὶς δέχου. ἀδύνατος ἦ γένηται ὁ ἥλιος Δφελεῖν περὶς δύσιν, συντεῦθεν καὶ ῥίζονται περὶ τὸν νεφέλιον αἱ ἀκτῖνες τοῦ ἡλίου τὸ κατ' ὀφθαλμὸν φορᾶς ὑπὸ τῆς περὶ τὸν ἀέρα πυκνώσεως Δφηλιομένης· ἢ οὕτως, καὶ δὴ περὶς δυόμενον τὸν ἥλιον ἀφορῶν, ἐὰν αὐτὸν σκιάζῃ νεφέλη μέλαινα τὸν χροιὰν, αἱ δὲ ἀκτῖνες ἄπασαι κατὰ μέσον τὸν δίσκον ἑλιστόμβραι, εἰς δύο μέρη τοῦ δίσκου Δφηλιώσι, καὶ αἱ μὲν, ἐπὶ τὰ δεξιὰ τοῦ μέρους, αἱ δὲ, ἐπὶ τὰ δεξιὰ χωρήσουσιν, εἰς τὸν ἑπιοῦσαν ἡμέραν σκέπης ἂν χρήζοις· χειμὼν γὰρ ἔσται. ἢ τὸ ὑποσκιάσαι ὡς τε δύνειν πειρᾶν αὐτὸν ἀμαυρὸν μάλιστα, ὡς ὅταν σκιάζῃ κατ' ὀφθαλμὸν τῆς γῆς καὶ τοῦ ἡλίου ἡ σελήνη ἐν τῇ ἐκλείψει. ὅταν οὖν κατ' εὐθὺ τοῦ ἡλιακοῦ κύκλου καὶ τοῦ γηΐνου ταῦτα ἴδῃς τὰ σημεῖα, χειμῶνα περὶς δόκα.

Εἰ δ' ὁ μὲν ἀνέφελος βάπτοι ῥόον ἑσπερίοιο,
Ταὶ δὲ κατερχόμεναι νεφέλαι καὶ οἰχόμενοιο
Πλησίον ἐρχόμεναι ἐρυθραὶ, ἤ τε μάλα χρὴ
Αὔριον ἤδ' ἐπὶ νυκτὶ περιτροπέοντα ὑέτοιο·
Ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένησιν ὁμοῖαι
Ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν πανύουσι,
Οἷον ἀμαλδύνουσι, ὅτε σκιάσῃσι κατ' ἰθύ,
Ἰσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη.
Οὐδ' ὅτε οἱ ἑπέχοντα φαινόμεναι ἠῶθι περὶ
Φαίνωνται νεφέλαι ἐρυθραὶ, ἀλλοθεν ἄλλη,
Ἀρρᾶγτοι γίνονται ἐπ' ἤματι κείνῳ ἀέλπτοι.

Εἰ δ' ὁ μὲν ἀνέφελος) Εἀν δέ, φησιν, ὁ ἥλιος αὐτὸς δίχα νεφελῶν δυ-

δυύτας, ἀνωτέρω δὲ αὐτῆς νεφέλας ὑπάρχουσιν ἐρυθραί, καταδύνοντος αὐτῆς καὶ ἤδη δεδυκότος, δύδειαν ἴσθι ἐκείνην τῇ νυκτὶ καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ χλυνσορμίαν. ἄμεινον δὲ τούτου, τὸ μὴ σφόδρα πυκνὰ εἶναι τὰ νέφη, ἀλλ' ἀραιά, καὶ ὕστως εὐδιανοίας. ἐξ αὐτῆς δὲ τῆς ἡλίου νεφέλας φαίνονται, καθάπερ χρυσίζουσαι, ὅταν σφόδρα αὐτὴ καθαρὸν δέχωνται τὸ φῶς· ὅταν δὲ πυῤῥαῖναι, ἐπάνω τοι καθαρὸν δέχονται τὸ φῶς· ἀλλ' ἔστι μὲν εὐδία τῇ ἐπιούσῃ νυκτί τε καὶ ἡμέρᾳ, οὐχ ἑξῆς δὲ ἄλλων ἡμερῶν· ὅταν δὲ χρυσίζωσι, καθαρὸν ἐδέξαντο τὸ φῶς· διὸ καὶ ἑξῆς εὐδιεινὸς ὁ καιρὸς ἔσται. ῥόον δὲ ἐπιτελοῦν φησι τὸ σελίζοντα. ἐὰν οὖν καθαρὸν καὶ ἀνεπιβόλαιον νέφους ὁ ἥλιος τὴν δύσιν ποιήσῃ, αἱ δὲ ὑπόλοιπον τὸ σελίζοντος νεφέλαι ἐρυθραί, ὡσεὶ δόκησις εὐδίας. Ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένησιν) Ἡγοῦν σκοτεινοτέρας· ὅταν γὰρ ἐπὶ μιᾶς καθέτου τὰ τρία ἄστρα χλωνται, γῆ, ἥλιος, σελήνη· καλεῖ δὲ καὶ ἡ γῆ ἄστρον· ἀνάγκη τότε, εἰ μὲν μέση ἡ γῆ εὐρίσκοιτο, σελήνης ἔκλειψιν χλωάζαι· ἐμπιπτούσης αὐτῆς εἰς τὸ σκιερὸν κῶνον, ὃν ἀποτείνει ἡ γῆ· μέσης δ' αὐτῆς σελήνης εὐρισκομένης, ἡλίου μέρει πινὶ ἐπιπροσθούσης, τοῦ λιπαροῦντος ἡλίου σκότωσιν ἐπιχωρεῖν. διὸ δὲ ἀγνωσίαν ἔκλειψιν οἱ παλαιοὶ κεκλήκασι. κυρίως δὲ καὶ τῇ λέξει κέχρηται εἰπών, ὅτε σκιάζει κατ' ἰθύ, ὅπως ἐστὶν ἐπιπροσθουμένου αὐτῷ, ἀποθεούσης τῆς σελήνης· ὅλος δὲ οὐδέποτε σκιλείπει. Διὰ δὲ τὸ πολλῷ μείζονα εἶναι τοῦ σελήνου τὸ ὄψεως ἡμῶν, ἐπισκοτεῖται πᾶν τὸ αὐτῆς. ἢ ὕστως, ὅτε καὶ κάθετον ἰσομοιρία ἡ σελήνη πρὸς τὸν ἥλιον ἔρχεται, τότε ἀποφαίνει αὐτὸν ἀφανῆ ποιεῖ, καὶ γίνεται σελήνης ἔκλειψις, ἐπὶ δύο ἢ καὶ τρεῖς ὥρας, ἕως ἂν ἡ σελήνη τὴν ἰσομοιρίαν παραδράμῃ. γίνεται δὲ τοῦτο πολλάκις καὶ δύτερον τοῦ συνιόντος, πολλάκις καὶ ἀπὸ πολλοῦ τοῦ χρόνου ὥσθ' ἡ τοῦ σελήνης κίνησις· καὶ γίνεται μὲν αὐτὴ καὶ μείων τοῦ σελήνου ἰσομοιρίαν ἡ σελήνη, ἀλλ' ἐκάθετον καθέζεται μέσης χαμμῆς τῆς ζωδιακῆς· ἀλλὰ καὶ κατὰ πλάτος κινεῖται, ἢ ἐπὶ πρὸς βορρᾶν ἡλίου, ἢ ἐπὶ πρὸς νότον. ὅτε μέντοι ἰσομοιρεῖ καθέζεται, αὐτὴ ἐν τῇ ἑβδόμῃ ζώνῃ ἔσται, αὐτὸς δὲ ἐν τῇ β'. ὑπὸ κατὰ κάθετον, ἀφανῆ ποιεῖ αὐτόν, ἐκκεῖ ἡλιακὴ ἔκλειψις, παρ' οἷς τελεία, παρ' οἷς μερική, παρ' οἷς ὅλως ἀδιάκριτος ἡ ἀκτὶς παρέχεται ποιῆσαι. τὸ δὲ, οἷον ἀμαλδύνον), ἀντὶ τοῦ ὡσεὶ ἀμαυροῦν), ὅτε τοῦ τῆς σελήνης σκλείπει· σφόδρα γὰρ ὡσεὶ μαραινομένης καὶ ἀποσβεννυμένης ὁρᾶν). Οτε σκιάζησι κατ' ἰθύ) Οἷον κατὰ κάθετον γῆς καὶ ἡλίου· ἐπεὶ γὰρ ὄψεως ἡμῶν πολὺ μείζων ἐστὶν ἡ σελήνη· ὥστε ἀποφράττει ἡμῶν τὰς ὄψεις μὴ ὁρᾶν αὐτόν, ἐν ἰσομοιρίᾳ κατὰ κάθετον γινομένη. αἱ δὲ ἡλιακαὶ ἐκλείψεις φαίνονται μείους γίνονται. Ὅταν δὲ ἰσαμβρὴν, ἤγουν, ὅταν καθὰ τὸ οἰκεῖον δρόμον ἡ σελήνη ἐν μήκει γίνομένη, ἐπισκιάζῃ τὸν ἥλιον, ἰσαμένη κατ' εὐθὺ τῆς γῆς καὶ ἡλίου. Οὐδ' ὅτε οἱ ἐπέχουσι) Οὐδ' ὅταν φανέωσαν αὐτῷ ἐπέχοντι καὶ μέλλοντι ἀνατέλλαι, πρὸς ὀρθὰς φανῶσιν αἱ νεφέλαι ὑπέρυθροι παντάχοθεν ἐν τῇ ἀνατολῇ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἄρραντοι μένουσιν αἱ γαῖαι, ἀλλ' ὑετοὶ ἐπιῤῥαίνοντες, ὅμβροι κατ' ἐκείνην τὴν ἡμέραν γίνονται.

Μηδ'

Μηδ' αὖτως ἔτ' ἐόντι φίλω ὁπότε περταθεῖσαι
Ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι περὶ,
Ὑδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι.
Αλλ' εἰ μὲν κείναι μᾶλλον νέφεος φορέοιντο
Ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν·
Εἰ δ' ὀλίγης ζαινύοιντο περὶ νόφος ἀκτίνεσσιν,
Οἷόν που μελανῇ νεφέλῃ φορέουσι μάλιστα,
Ητ' ἀὴ ἐπερχομένοιο περὶ νοφέοιντ' ἀνέμοιο.
Οὐδὲ μὲν ἠελίου χλοδόεν μελανθύσαι ἀλωαὶ
Εὔδιοι· ἀλλοτεραι δὲ κὴ ἀχλυφέες μελανθύσαι,
Μάλλον χθμιέριαι· δύο δ' ἄν χαλεπώτεραί εἰσι.

Μηδ' αὖτως ἔτ' ἐόντι) Οὐ δ' ὅταν ἥλιος μέλλοντος ἀνατέλλειν, ἀκμὴν δὲ ὄντος ὑπὸ τῷ ὁρίζοντι, αἱ ἀκτῖνες αὐτοῦ περὶ τὸ ὄρθρον περαναφερόμεναι, θεωρῶνται ὑπονέφελοι καὶ ζοφώδεις, ὃν δύδιαν δεῖ προσδοκᾶν, ἀλλ' ὄμβρον καὶ ἄνεμον· μελανομένων μὲν ἄγαν, ὄμβρον· ἐπ' ὀλίγον δὲ σκιαζομένων καὶ ὁμοίων τυγχανόντων τοῖς διαυγέσι νεφέλαις, ἄνεμον· ὁ δὲ νῦς, μηδὲν τῶν ἡλίαν ἐπ' αὐτῷ ἀνατέλλοντος, ὁπόταν λάβῃ διοσημοθετῆσαι αἱ ἀκτῖνες, περὶ τελέως ἡμέραν φανεῖσαι, ὡσαύτως ἐσκιασμένον καὶ οὐ πάνυ φαιδρὸν φαίνωσιν, ὕδατος ἐσομένου ἢ ἀνέμου ἐπιλαμβάνει· ἀλλ' εἰ μὲν ἀκτῖνες σκεπαναὶ πάνυ ζοφώδεις φαίνοιεν (τοῦτο γὰρ ἐστὶ τὸ νέφεος) μᾶλλον ἐπὶ πλείονι ὕδατι τὴν σημασίαν ἔχουσιν· εἰ δὲ ὀλίγον γνόφου καὶ ὀλίγη ἀμαύρωσις περὶ τὰς ἀκτῖνας κεῖται, ὁποία περὶ τὰς πεπιλημένας νεφέλας ἀμαύρωσις φαίνεται), ἐσομένου ἀνέμου σημεῖον. τὸ δὲ ἐπίσκιοι, ἀ κρυφαῖαι, ἀλλ' οἷον σωματοειδεῖς καὶ παχεῖαι. τὸ δὲ, μᾶλλον νέφεος φορέοιντο, ἀντὶ τοῦ μᾶλλον μελαινόμεναι. Ὅτι δὲ ὕδωρ σημαίνουσιν. εἰ δὲ βραχύς τις σκιασμὸς περὶ αὐτὰς εἴη, οἷον ὡς μαλακοῦ νέφους ἐπιόντος), ἄνεμον ἔσαι. Οὐδὲ μὲν ἠελίου) Καὶ περὶ τὸ ἥλιον ἅλωνες σημαίνουσιν, ὡσαύτως καὶ ἐπὶ τῆς σελήνης ἐφημμένον. ὁ δὲ λόγος, ὅτι πλησίον τοῦ ἡλίου μελανόμεναι ἅλωνες εὐδίας εἰσὶ σημαντικαί. πλησίον δὲ μᾶλλον τυγχάνουσαι, καὶ διαφανέστερον μέλαιναι, ἐπίτασιν ἔχουσι χθμιῶνος, πολλῷ δὲ μᾶλλον, ἐὰν δύο τυγχάνωσι. τὸ δὲ ἀχλυφὲς, ἀμετακινήτως ἔχον σκληρὸς· τοιαῦται γὰρ οὖσαι μᾶλλον ποιοῦσι χθμινάς· ἐὰν γὰρ ὡς περιέπεμψε ὁ χθμιερινὸς ἀὴρ ἀπὸ τῆς πλήνους ἀναδιδῶσιν αὐτὰς εἰς οὐρανὸν, αὗται δὲ ἐλθοῦσαι

ἐγγὺς

ἴσχυς ἡλίου, κρατιφλεχθῶσιν, ἀλλ' ὀπὰ τ στερρότητος μενώσιν οὕτω, πάν- τως μέγαν πάνυ χειμῶνα σημαίνουσι· καὶ μᾶλλον, ἐὰν δύο ἡλιοστῇ.

Σκέπτεο δ' ἢ ἀνιόντος, ἢ αὐλίκα δυομένοιο,
Εἰ ὥς οἱ νεφέων πὰρ πῥηλία κικλήσκονται,
Νότου, νέ̓ Βορῆος ἐρεύθῃ), ἢ ἑκάτερθεν,
Μηδ' ὅτῳ σκοπιὴ ταύτῃ ἀμφιλαφὰ φυλάσσειν·
Οὐ γὰρ ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχωσιν
Ἠέλιον κεῖναι νεφέλαι φερέβιον ἀνέρος οἰῶν,
Γίγνεται ἀμβολίη, δεδάην χειμῶνος ἰόντος·
Εἴγε μὲν ἐκ Βορέαο μιῇ οἵῃ φοινίσσοιτο
Ἐκ Βορέω τοιαίς κε φέροι, νοΐην δὲ νότοιο.
Ἢ καὶ που ῥαθάμιγγες ὑπερβαλέως, ὑετοῖο·
Εὐκρινέϊς δὲ μᾶλλον ἀληθέα τεκμήραιο·
Εὐκρινέως γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.

Ἐν δ' ὅτε κὴ

Σκέπτεο δ' ἢ ἀνιόντος) Διὰ τούτων παραινεῖ ἐπιμελέστερον ἀεὶ σκέπτεσθαι τοῖς τ ἡλιον ἀνατέλλοντα ἢ μέλλοντα δύνειν, εἰ θηρεύεται τὰ παρήλια λεγόμενα νέφη, καὶ παρατηρεῖν πότερον τὸ πρὸς βορρᾶν νέφος ἐρυθραίνεται, ἢ τὸ πρὸς νότον, ὡς τῆς ἀπὸ τούτων σημειώσεως βεβαίας ἔσης· ὅταν γὰρ ἐξ ἑκατέρων μερῶν βορέου καὶ νότου, ὡς παρήλια φοινικόμορφα φαίνοιτο, ἐπίγνον χειμῶνα βαρὺν σημαίνει· ἐὰν δὲ μόνον τὸ βόρειον ζοιοῦτον ᾖ, βορέαν ἀνεμον μιλύει· τὸ δὲ ἀπὸ τοῦ νότου, νότον. ἐὰν δέ ποτε καὶ σκιαγμοὶ μεγάλοι ῥαδαῖοι περὶ τὸν ἕτερον γίγνωνται), χειμῶνα σημαίνουσιν· εἶναι μέντοι ἀκριβέστερα τὰ περὶ τὸν δύσιν τοῦ ἡλίου σημεῖα. παρήλια δέ, ὁ Ποσειδώνιός φησι νέφη εἶναι στρογγύλα, περὶ τὸν τοῦ ἡλίου ἔκλαμψιν, οὐ τοῦ ἡλίου λαμπόμενα· ἐ γὰρ ἰδίᾳ φωτὶ κέχρηται), ἀλλὰ τῷ τοῦ ἡλίου, ὡς καὶ ἡ σελήνη· διὸ καὶ παρήλια εἴρηται, τῷ τε στρογγύλα εἶναι, καὶ τῷ ἐκλάμπεσθαι ὑπὸ τοῦ ἡλίου. ὁμοῖα οὖν αὐτὰ γίνεται), παρεπόμενα τῷ ἡλίῳ, παρ' ὅσον οὐ πολαιόν αὐτοῦ ὁρᾶται. διὸ καὶ λευκὰ φαίνεται· περὶ γὰρ ἔκλαμψιν τοῦ ἡλίου, τὰ τοιαῦτα αὐτῷ συμπίπτει. πέφυκε γὰρ οὐ πολαιὸν τοῦ ἡλίου τοῦτο γίνεσθαι, ἐπεὶ τὰ μὴ ὑπὸ τοῦ ἥλιον νέφη παχέιαν λαμβάνει τὴν ἔκλυσιν· τὰ δὲ πολὺ ἀπηρτισμένα, ἐ δύναται) τὴν ἀνάκλασιν τῆς ἀκτίνων ποιεῖσθαι· οὐ δὲ

τ παλαιῶν ῥαθύμιαν τῶν ἀλεκτρύων συμβαίνειν χάριν. ὅθεν καὶ δυομένην ἢ ἀνιόντος τοῦ ἡλίου, ταῦτα σημαίνειν, τὴν λοξὰς ἐμπίπτειν εἰς αὐτὰς τὰς ἀκτῖνας μὴ ἴσας καθιεμένας· σημαίνειν δὲ τῶν ἑκατέρωθεν τοῦ ἡλίου πολλάκις. Ἀριστοτέλης δέ τε παρήλιά φησιν· ἐμφαίνειν εἶναι μὴ ἐχόντων ὑπόστασιν, ἢ παρήλια καλοῦνται νεφέλαι, αἱ τῷ ἡλίῳ παραπλήσιαι, ἐμφαίνουσαι τὴν χροιάν, ἀλλὰ καὶ κατὰ τὸ κυκλοτερὲς ἴσως διὸ καὶ αὐτό. σημεῖον δὲ αὐτοῦ ἴσως ἡλίου εἰσὶν αἱ νεφέλαι αὗται, καὶ ἐξ αὐτοῦ φαντάζεσθαι, τὴν χροιὰν αὐτῶν ἀπομιμούμεναι. εἰσὶν δὲ κυκλοτερεῖς τὸ σχῆμα· διὸ παρήλιοι ὀνομάζονται φερωνύμως. παρεοίκασι γὰρ ἡλίῳ· ἢ παρήλιά ἐστι, ἐμφάσεις ἡλίου φερόμενοι· ὁμοία καὶ ἴσα αὐτῷ, περιλαμπόμενα νέφη πρὸς ἀκτῖνας ὑποδεχόμενα, καὶ ἀπὸ τῆς ὁμαλότητος ἡλιοειδῆ παρέχοντα τὴν φαντασίαν, καὶ οἷον ἂν φλογοειδῆ, καὶ εἰς ἓν συνηγμένα, μεταξὺ μηδὲν παραλείποντα διάστημα, περιτεμνόμενα τῇ τοῦ ἡλίου φορᾷ. ἢ δὲ παρήλια καλεῖται ἀνήλια· νέφη δέ εἰσι τροχοειδῆ, ἀνταναπίμποντα τὸν ἥλιον, ὥστε δοκεῖν ἡλιοειδῆ ὅπερ ἥλιον εἶναι. γίνεται δὲ τὰ παρήλια ἀπὸ τοῦ πρὸς τὴν θάλασσαν ὑγροῦ ἀέρος, ὃς ἀναδίδοται, εἰς νέφη διαφορεῖται· ψυχροῦ δὲ ἄνεμος ἐμπίπτων, πήγνυσιν αὐτά, κἀκεῖνα, ἅτε δὴ καὶ πρὸς ἀκτῖνας δυνάμενα δέχεσθαι, ἐνθραύεται· διὸ καὶ ἀνέμων φησὶν αὐτὰ σημεῖα. ὕλης δὲ πυκνῆς δεῖ ἡ τούτων σύστασις καὶ πολλῆς· διό τοι τῶν καὶ ἀμφὶ τὸ ὀξύτατον πόντον, τὰ πολλὰ φαίνεται σημειώματα· ἀραιοῦται δὲ καὶ τὴν ἐλάττω. σημεῖον δέ ἐστιν ἀναγκαῖος χιόνος. ὁ δὲ νότος, περισκοπεῖ δέ, ἢ ἀνατέλλοντος, ἢ δύοντος δυομένου τοῦ ἡλίου, εἴπερ αὐτῷ εἰσὶ νεφέλαι τοιοῦτον, οἷον καλοῦνται τὴν παρήλιον, ἢ τὰ νοτίαν μοῖραν τοῦ ἡλίου, ἢ τὰ βορείαν, ἢ ἐξ ἑκατέρου μέρους, καὶ ἀπὸ νότου καὶ ἀπὸ βορέου. μηδαμῶς δὲ τὴν ὅλην τοιοῦτον τὰ παρηλίων νεφῶν ἁρμόττειν ὡς ἔτυχε φυλάττειν, ἀλλ' ἐπιμελῶς. ἔστι γὰρ χρειώδες καὶ κάλλιστον τεκμήριον. ὑδὰτ γὰρ ὅτε ἐκεῖναι αἱ παρήλιοι νεφέλαι ἐξ ἑκατέρου μέρους ἔχουσι τὸ ἥλιον, τοιοῦτον τὸ ὠκεανοῦ ἢ τοῦ ἀναβολικοῦ, ἢ τὸ δυτικοῦ, γίνεται παρὰ Διὸς ἀναβολὴ χειμῶνος· ἀλλ' οὐδέποτε ἐπιπίπτειν μέγας χειμών. ὁ ἐλέγομεν τὸ ὠκεανὸν λέγειν, τόν τε ἀναβολικὸν καὶ τὸ δυτικόν· καὶ γὰρ ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει φαίνεται παρήλια ἑκατέρωθεν τοῦ ἡλίου. καὶ εἰ μὲν ἐν τῷ βορέᾳ ἡ νεφέλη φοινίσσοιτο, βορέαν δηλοῖ· εἰ δὲ ἐν νότῳ, νότον. Εὖ ὅτι ῥαθυμίαις) Γράφεται, Εἰ καί που ῥαθυμίαις, ὃ καὶ ἄμεινον. ἐὰν καμπὸν ἐν ῥαθυμίαις· καὶ σαφέστερον ὑστοῦ ἐπιτέχνωσι μετ' αὐτῶν τῶν παρηλίων, καὶ κοινοῦ γίνεται ἀναβολὴ τὸ χειμὼν ὄντος καὶ τὸ ἐκ Διὸς ἐκ τοῦ χομῶν· ἢ, ἐὰν δέ ποτε σκαληνοὶ μεγάλοι καὶ ῥαιδαῖοι περὶ τὸν ἑσπέραν γίγνονται, χειμῶνα σημαίνουσιν. Ἑσπερίοις) Ἐκθήμενον πάντα τὰ ἐκ τοῦ ἡλίου τεκμήρια παραγγελίαν πρὸ εἰσάγει, καὶ παραινεῖ μᾶλλον τοῖς περὶ τὴν δύσιν τεκμηρίοις προσέχειν τὸν νοῦν, ἐπειδὴ τὰ ἐν τῇ ἀνατολῇ σπουδάσματα τεκμήρια, ἢ ἀπὸ νεφῶν, ἢ ἀπὸ ἄλλων τινῶν, ἀνίοντος τοῦ ἡλίου, εὐθέως διαλύεται, καὶ πολλάκις ὑδὲ πίνουσι τὸν καταλήψιν δέχεται. ἐμοὶ γε μὲν περὶ τὴν δύσιν τοῦ ἡλίου σπουδάσματα σημεῖα, ἀληθῆ· ἐπεὶ φαμὲν ἐντεῦθεν τὸν ἀέρα ἐπὶ πλεῖον σπογχεῖα κεφαλῆς τῇ ἀναθυμιάσει· διὸ καὶ παχύτερον λέγεσθαι τὸν νοτίου ἀέρα, ὅτι παρρωτέρω ἐστὶ τῆς ἡλιακῆς περιόδου. ἐπίτηδες οὖν τῶν

σημείων κρίσιν. τὸ δὲ ἔχειν τινῶν ἀστέρας σημεῖον τινῶν ἐστι, ῥᾴον ἀεὶ καὶ ἰσχυρὸν καὶ βέβαιον ὂν μᾶλλον, ἢ τὸ ἐναντίον.

Σκέπτεο καὶ φάτνιον· ἡ μὲν τ' ὀλίγη εἰκυῖα
Ἀχλυΐ, βορράῃ ὑπὸ κερκίνῳ ἠγερέθῃ·
Ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
Ἀστέρες, ὅτε μὲν πολλὸν ἀπήορος, ὅτε μάλ' ἐγγύς,
Ἀλλ' ὅσσον τε μάλιστα πυγχύσιον οἰήσασθαι·
Εἷς μὲν πρὸς βορέαο, νότῳ δ' ὑπέρχεται ἄλλος·
Καίτοι μὲν καλέουσι δύο· μέσση δέ τε φάτνη,
Ἣτε καὶ ὀξυπόρης ὠνόμηται Διὸς ἀθλιάοντος,
Γίνεται ἄφαντος ὅλη· τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
Ἀστέρες, ἀλλήλων αὐτοχεδὸν ἐνδάλλονται.
Οὐκ ὀλίγῳ χρόνῳ γε τότε κλύζουσι ἄρυραι·
Εἰ δὲ μεθαμέρη, τοὶ δ' αὖθις ἐοικότες ὦσιν
Ἀστέρες ἀμφότεροι, τῷ κεν ὕδατι σημαίνοιεν·
Εἰ δ' ὁ μὲν ἐκ βορέω φάτνης ἀμυδρὸς φαείνῃ
Λεπτὸν ἐπαχλύων, νότιος δ' ὅνος ἀγλαὸς εἴη,
Δηθὲν ἔτι μενέμοιο νότου. βορέω δὲ μάλα χρὴ
Ἐμπαλιν ἀχλυόεντι φαεινομένῳ τε δοκεύειν.

Σκέπτεο καὶ φάτνιον) Θεωρεῖται τις ὑπὸ κερκίνῳ φάτνη, νεφελώδης τῇ συσφοῇ, μικρῷ καὶ μόλις ἀμυδρά, ὑπὸ δὲ νοτίαν ὁρᾶσθαι τὴν κερκίνου, ἥτις ὑπὸ τῶν ἑτέρων φιλοσόφων ἔτυ φάτνη ἐπονομάζεται. εἰσὶ δὲ καὶ παρ' ἑκάτερα τῆς φάτνης δύο ἀστέρες, ὁ μὲν, βόρειος, ὁ δὲ, νότιος, οὓς ὄνους ἐπῴδισε, διὰ δὲ παρακεῖσθαι τῇ φάτνῃ· δίδωσιν οὖν ἡμῖν σημεῖα τοιούτης τῆς φάτνης τεκμήρια χρωμένοις ὁ χαιμῶν. Ἡ μὲν τ' ὀλίγη εἰκυῖα) Ἥτις ἡ φάτνη ὀλίγη ὁρᾶται ἐοικυῖα, οἱονεὶ μόλις τῆς ἀμυδρᾶς ὔσης, ὑπὸ τῷ κερκίνῳ συνῆπται καὶ συνέστραπται. τὸ δὲ βορράῃ, ἀντὶ τοῦ βορείῳ, εἰπόντως· εἰ γὰρ ὑπὸ βορραῖον ὁρᾶται

κὸν ἐστὶ τοῦ καρκίνου, ὃς ἐστὶ παντὸς τοῦ ζωδιακοῦ βορειότερος, εἰκότως ἂν εἴη βορεινὸν ὑπὸ καρκίνου. Ηρηλάζει) Ὁ καρκῖνος ἐπὶ πρόσωπόν ἐστιν ἐμπεπηγὼς τοῦ οὐρανοῦ. ὑπὸ κάτω δὲ αὐτοῦ, ἐν τῷ νοπαίῳ ὁρᾶκι, δηλονότι, ἡ φάτνη ἀγηλάζει, ἤγουν σωρεύεται, σωρεύεται, ἢ ὑπόκειται. ἐν ὀλίγῳ γὰρ ἐστὶν ἡ κίνησις ἡ συροφὴ αὐτῆς ἡ νεφελώδης ἐπίλυσις. Αλλο, περὶ φάτνης. Ἐν τῷ δωδεκατημορίῳ τῶ καρκίνου, νεφέλιόν πέρι περιστοικὸς τῷ γαλαξίᾳ, μεταξὺ ἀστερίσκων κείμενον, οἱ δακτύλιοι ὀφθαλμοὶ εἶναι καὶ κίνου. καλεῖται δὲ, τὸ μὲν νεφέλιον, φάτνη· οἱ δὲ ἀστέρες, ὄνοι· καὶ ὁ μὲν, βόρειος, ὁ δὲ, νότιος· μεταξὺ δὲ αὐτῶν διάσημα, ὅσον πυγόνος ἐστίν. Αμφὶ δὲ μιν δύο λεπτὰ) Τὸ λεπτὸ, ἀντὶ τοῦ λεπτῶς καὶ ἀμυδρῶς· εἰσὶ γὰρ οὗτοι οἱ ἀστέρες ἀμαυρὰ λαμπροί. τὸ δὲ, φαεινόμμοι φορέουσι), ἀντὶ τοῦ φαίνονται. ὁ δὲ νῶτος, περὶ δὲ τὴν φάτνην δύο ἀστέρες λεπτῶς φαίνουσι), οὔτε σφόδρα ἀλλήλων ἀπηρτημένοι, οὔτε μὰν συνωμμένοι. ἐν τῷ συνοράσθαι δὲ τοσοῦτον φαίνονται ἀφεστηκότες, ὅσον ἐστὶ πυγούσιον ὑπονοῆσαι πικά. πυγούσιον δὲ, ἤγουν πυγῶνα· πύγων δέ ἐστι, τὸ ἀπὸ τοῦ ὠλεκράνου ἐπὶ τὸ μικρὸν δάκτυλον τῆς χειρὸς σχηματιζόμενον μέτρον. Εἷς μὲν πὰρ βορέαο) Καὶ ὁ μὲν εἷς αὐτῶν, βορειότερός ἐστιν· ὁ δὲ ἕτερος, νοτιώτερος· ἕτεροι δὲ καλοῦσιν αὐτοὺς ὄνους· καὶ μέσον δὲ αὐτῶν ἡ φάτνη ἐστίν. Ηπε ἐξαπίνης) Ηπος ἡ φάτνη, ἐπειδὴ παντελῶς οὔσης δῆλος αἰφνιδίως ἀφανὴς γίνεται, οἱ δὲ ἐγκύπτοντες περὶ αὐτὴν ἀστέρες, ὥσπερ συνεχόμενοι πλησίον ἀλλήλων φαντασίαν παρέχουσιν. ὅταν δὲ τὸν νέφους, ἐπειδὴ τὸ τοῦ φάτνου ἄφαντον ἦλος αἰφνιδίως, δῆλος οὔσης, μέλλοντος χειμῶνος ἔσεσθαι σημεῖόν ἐστι. τὸ δὲ αὖπνον, βιοῦντο· ὑγρότης αἰέρος γίνεται ἡμῖν ἀναπαύσεως, καὶ σκληρότητος καὶ ὑγρότητος ἐκείνης ἡ φάτνη ὅσα κατὰ φύσιν ἀμυδρὰ, ἀφανῆ γίνεται). διείρησαι δὲ τοὺς ὄνους, ὅτι ἀφαντοῦσι), ὑπτίοιαν ἡμῶν παρέχει τὴν πλησιάζειν ἀλλήλοις. ὁ δὲ νῶς, ἐὰν, φησὶν, οἱ μὲν ἀστέρες ἐγγὺς ἀλλήλων φαίνωνται), ἀφανὴς δὲ ἡ φάτνη, τηνικαῦτα βραχὺ χειμῶνα προσδόκα. αὖπνον δὲ, τὸ μὴ τὸν φάτνου ὁρᾶσθαι, τοὺς δὲ ἀστέρας ἐγγὺς ἀλλήλων εἶναι, καὶ λέγει νεφώδης αὐτοὺς αἴρας ὁρᾶσθαι, καὶ ὅσον ὑδέπω μεβαλόντος εἰς ὕδωρ· συγκλεῖσαι γὰρ φιλεῖ τὸ μεταξὺ διάσημα τῶν ὑδάτων ὁρωμένων. ὁμοίως δὲ καὶ μελαίνη) μὴ ἡ φάτνη, οἱ δὲ ἀστέρες κεκαφαίνωνται, τὸν αὐτὸν ἔχοντες τρόπος ἀλλήλους, ὑετὸν προδηλοῖ· πάλιν γὰρ ἡ φάτνη μελαίνεται, τῶν αἰέρος εἰς αὐτὸν στελομένων. ἐὰν δὲ τῶν ἀστέρων τούτων, ὁ μὲν βύρσος ἀμαυρὸς φαίνηται, ὁ δὲ νότιος λαμπρὸς, νότον ἴσθι πνοὴν σημαίνειν καὶ ἔμπαλιν, ἐὰν μὲν ἀμαυρὸς ὁ νότιος, λαμπρὸς δὲ ὁ πρὸς βορέαν, βορέαν προσδέχου πνοὴν σημαίνειν· ἢ, ἐὰν δύσις ὕσης ἴσης τὸν φάτνου αἰφνιδίως γνωμόνων ἀφανῆ, τοὺς δὲ ὄνους ἐξ ἑκατέρων τῶν μερῶν φαινομένους λαμπροὺς, μέγαν χειμῶνα προσδόκα· ἐὰν δὲ μὴ ἀφανὴς μὲν γένηται) ἡ φάτνη, ἀλλὰ μελαίνη) ὁ τόπος, ἐφ' ᾧ κατισήκασι, οἱ δὲ ὄνοι σὺν ἀμαυροὶ φαίνωνται), ὄμβρον προσδόκα· ὥστε, ἐὰν μὴ ἐξαίφνης ἀφανὴς ἡ φάτνη γένηται, οἱ δὲ ἀστέρες ἐγγύτερον ἀλλήλων φανῶσι, χειμῶνα ἐπιμόνου δηλοῖ. ἐὰν δὲ μέλαινα μὲν ἐκείνη τῇ φαντασίᾳ, οἱ δὲ ἀστέρες τὸν αὐτὸν ἔχωσι πρὸς ἀλλήλους ἔχοντα, ὑετὸν προσδόκα.

Εἰ δὲ μελαίνη) Ἐὰν δὲ μέλαινα καὶ

ζοφώδη ἔχη τὴν χροιάν ἡ φάτνη. ἐν τούτῳ δὲ ὁ τῆς θαλάσσης παχύνεται γίνηται, οἱ δὲ ἀστέρες ὥσιν ἐοικότες αὐτοῖς, φωνὴν τε ἀφιέναι τὸ φῶς ἀμαυρούμενοι, τότε σημεῖόν ἐστιν ὄμβρου ἐσομένου· τὰ γὰρ ζοφώδη τῶν ἀστέρων, πολλάκις ὡς ἐπὶ τὸ πολὺ, δηλωτικά ἐστιν ὕδατος. Εἰ δὲ ὁ μὲν, ὁ δὲ βορέας) ἐπὶ τὸ πολὺ καὶ ἐν φαινομένοις, ὡς ἐπὶ τῆς ἡμετέρας καὶ τοῦ κατὰ πόρον, ὅταν μέλλωσι πνεῖν ἄνεμοι τῆς θαλάσσης αὐτοῦ ὕδασι παχυμερέσι συχάσας ἐπαναπίμπλασιν αὖ-

τοῖ δὲ λαμπρὸν ἐπιδείκνυται· ὕστερον οὐ καλῶς, ἐάν, φησιν, ὡς ὁ βορέας μέρος τοῦ φάτνης ἀεὶ ἀμαυροῖς φανῇ, ἡρέμα πως ἀχλυώδης ὤν, ὁ δὲ νότος ὅλος φαίνηται, τότε ἐπισκοπεῖ καὶ ζήτει πνεῦσόμβρον τὸν νότον· τὰ γὰρ πρὸ ἑαυτοῦ ὁ ἄνεμος ἀναστέλλας, τὸ νότιον ὅλον φανερώτερον ποιοῖ.

Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδήματα θάλασσα
Γιγνέσθω· ἢ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
Ἀκταί τ' εἰνάλιοι, ὁπότ' ἂν δι' ὄμβροι ἵκηται
Γίγνοιτ'), κορυφαί τε βοώμεναι ὑρέος ἄκραι.

Σῆμα δέ τοι ἀνέμοιο) Ἀπὸ τῶν οὐρανίων σημείων μεταβέβηκεν εἰς τὰ ὑπάρχοντα, καὶ ἀπὸ τοιούτου ἄρχεται) θαλάσσης. ὁπόταν, γάρ φησιν, δύσις οὖσης, ἡ θάλασσα μετεωρίζηται, καὶ μακρὰς ἀπὸ τῶν αἰγιαλῶν ἤχους ἀποτελῇ, ἄνεμον δεῖ τοιοῦτον προσδοκᾶν· ὁμοίως δὲ καὶ αἱ πλησίον τῆς θαλάσσης ἀκταί, πλέον τοῦ κοίλου φύσιν ἔχουσαι, μέλλοντας ἀνέμους σημαίνουσιν· ὡσαύτως δὲ καὶ ὅταν αἱ ἀκρώρειαι τῶν ὀρῶν βοὴν ἀποτελῶσιν. ἀρξάμενον δὲ ἀπὸ κρατίστου τῶν ἐπὶ γῆς στοιχείων τοῦτο τὸ σημεῖον φυσιστέον ἀνέμους, τῆς θαλάσσης δηλαδή, φησιν, ἐπαιρομένης τοῖς ὕδασιν ἡ θάλασσα, σημεῖόν σοι ἔσται ἀνέμων· καὶ εἰ αἰγιαλοὶ μέγα κροάζοιεν, ἀκταὶ τῶν κυμάτων δηλονότι. καὶ Ὅμηρος, Αἰγιαλῷ μεγάλῳ βρέμε) σημαντικὸν δὲ τὸ πόντος, Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπειρόιο. συμβαίνει δὲ ταῦτα, διότι ἀκροσφαλὴς ἡ γεγένηται ἡ ἄερος, καὶ τῷ ὕδατι καὶ τῇ γῇ πᾶσι ἡρεμίαν τε καὶ σάσιν. ἀρχομένου δὲ τοῦ ἀέρος ἠσυχῇ ῥεῖν, σημεῖόν ὁ ψόφος· καὶ γὰρ μεταβολὴ μὴ γένῃ) ἀέρος, ὑδάτων μέντοι γε ἡμῖν αἰσθητή· καὶ γὰρ ἡ θάλασσα διοιδαίνουσα, τοῦτο πάσχει κατ' ἐμπίωσιν ἀνέμων. αἵ τε ἀκταὶ ἠχοῦσιν· ἡ γὰρ λαλιὰ τοῦ ἀνθρώπων σοι ἐᾶ τοῦ ἀέρος κινήσεως αἰσθησιν λαμβάνειν, μὴ σφοδρᾶς ὑπαρχούσης· ὧν δὲ τοῖς ἠρέμοις τοῦτο συμπίπτει. Ἄλλως. Εἰρήκαμεν πολλάκις ὅτι σφόδρα πεφρόντικε τοῦ ἐπιδεῖξαι τεκμήρια πολλὰ χειμώνος ὁ Ἀρατος, προσυσόμβρου τοῦ ἀνθρώπων. δεδώκασι δὲ ἥ τε ἄφρων καὶ σελλώνης καὶ ἡλίου καὶ τῆς φάτνης τεκμήρια δεῖά τε καὶ ἀληθῆ, γινώσκουσι δὲ καὶ πάντες εἰσὶν ἐπιστήμονες τοῦ οὐρανίου, ἔστε ἀκριβεῖς καὶ πεπαι-

δευ-

δευμένοις εἰς τὸ κοπιλαμβάνεσθαι τὰ ὑπ' ἀρετῆς τιμωμένα, ἢ ὑπ' αὐτῆς παρ' ἡμῶν καὶ μᾶλλον ἡμῖν γνωσθῆναι διδασκαλίαν ποιεῖται· οἷον, ὑπὸ θαλάσσης, ὑπὸ πλοίων, ὑπὸ πνεύματος, ὑπὸ ζώων, καὶ ἐξ ἄλλων, καὶ ἐκ πάντων τῶν κοπιλήψιν ἡμῖν παρίσχει ἢ χρημάτων.

Καὶ δ' ἂν ὅτε ξηρὸν ὄτ' ἐρωδιὸς ὑψόθι κῶμον
Ἐξ ἁλὸς ἔρχηται, φωνῇ σὺν πολλὰ λιγαίνων,
Κινυμένου τε θαλάσσης ἐπιφορέοιτ' ἀνέμοιο.
Καί ποτε καὶ κέπφοι, ὅτε τ' εὔδιοι ποτέωνται,
Αὐτίκα μιγνύντων ἀνέμων εἰλυδὰ φέρωσιν.

Καὶ δ' ἂν ἐπὶ ξηρὸν ὄτ' ἐρωδιὸς) Καὶ ὅταν ὁ ἐρωδιὸς ὑπὸ τῆς θαλάσσης ἐπὶ τὸν ξηρὸν σφόδρα κραύζων ἔρχηται, γίνωσκε ὅτι ἀνέμου κινουμένου σημεῖόν ἐστιν. ὁ δὲ ἐρωδιὸς, τὸ ὄρνεόν ἐστιν ἀμφιβίων ἐστὶ, ποτὲ μὲν ἐν ξηρᾷ, ποτὲ δὲ ἐν ὑγρᾷ διάγων. πολλάκις οὖν ἐπὶ θαλάσσης διατρίβων, αἰσθάνεται πνεύματος μέλλοντος κινήσειν, καὶ δεδοικὼς μήποτε αὐτὸν ἡ ὑπὸ τῆς θαλάσσης τελευτήσῃ περόχη, τεθορυβημένῳ ἔοικεν ἐπὶ γῆν, καὶ κραυγάζων τῇ φωνῇ καὶ τῇ πτέρυγι πλήσσει τὸ φόβον δηλοῖ. γίνονται δὲ αἱ τῶν ζώων αἰσθήσεις τοιαῦται; ἤτοι νοῦ ἐξ ὑπάρξεως, ἢ αἰσθήσεως τελειότητι· ἡ δὲ ἀπὸ τῆς αἰσθήσεως διαιρεῖται· ἡ μὲν ἀφῇ, ἀπὸ ψυχρότητος· ἀκοῇ δὲ ἀπὸ ἀναθυμιάσεως, ὄσφρησις. ὁ μὲν οὖν ἄνθρωπος λόγῳ καὶ σκεπάσμασι τοῦ ψύχους παραλλαγεὶς οὐκ αἰσθάνεται, ὁδὶ τῇ ὀσφρήσει λόγῳ μίξιν τῶν χυμῶν ἀντιλαμβάνεται· ὧν δὲ ἡ ἐλία δι' ὁμοιότητα αἰσθητοῦ τοιοῦτόν ἐστι, σημαίνει τὸ ἐσόμενον. φοβεῖται οὖν ὁ ἐρωδιὸς τὴν θάλασσαν, τὰ χρώματα αἰσθανόμενον. τὸ δὲ, κινυμένου θαλάσσης, ἤγουν κινουμένου πνεῦμα μέλλοντος ἀνέμου, ὑπὲρ τὴν θάλασσαν φορεῖσθαι καὶ κομίζοιτο ἐπὶ τὴν ξηρὰν ὁ ἐρωδιός. Καί ποτε καὶ κέπφοι) Ἀπὸ κοινοῦ τὸ κινυμένου ἀνέμου ἐστὶ δὲ ἐξ σημεῖον. ὁ δὲ κέπφος τὸ ὄρνεόν ἐστι λευκοπόρφυρον ἐξ σφόδρα ἁλῶν ἐπιλείπει ἡ σάρξ. ἔστιν ὅτε μόνον ἀχεδὸν καὶ πλεκτὸν ἔστι δὲ ὅλον τὸ ὄρνεον ἰχνόν· ἀεὶ δὲ φιλυδρεῖ τὰ ἄφρα· τοῦτον γὰρ καὶ σιτεῖται ὡς τὰ ὑδατα ἀναστρεφόμενον, ὡς καὶ Νίκανδρος, Θηρσὶν ἀφροῖο νέῳ κλύδα λουκάνησιν· ἐπειδὰν οὖν αἴθρη ὀλίγα πνεύματος πνεῖν μέλλοντος, ἵπταται, ἐ φεύγων τὸ ἄνεμον, ἀλλ' αὐτῷ τῷ ἀνέμου ἀντιπαθείᾳ τος, ἵνα πνέων ἐκεῖνο, οὕτω ὡς ἐπ' αὐτὸν φερομένῳ, σκέπῃ αὐτὸν τοῖς πλεκτοῖς. τέχνῃ δὲ αὐτὸ ποιεῖ ὁ κέπφος· εἰ γὰρ ἐπιπαθεῖν ἔφυγεν, ὅπισθεν ἔχων τὸ ἄνεμον ἀναστρεφόμενον τοῖς τὸ σῶμα αὐτῷ πλεκτῶν οὐκ ἂν ἀνέμου, κακῶς ἂν διεπέπετο. τῶν δὲ ἀντιπαθείᾳ τος ἵπταται), ἵνα πνέων ὁ ἄνεμος σκέπῃ αὐτὸ τοῖς πλεκτοῖς, καὶ οὕτως εὐέλκῃ τὸ πνεῦμα. ὅταν καὶ εὐαντίοι τὰ μελλόντων ἀνέμων πνεῖν οἱ κέπφοι εἰλυδὰ πέτωνται, ζητεῖ καὶ συστροφὴν, κατὰ ἀγέλην κινοῦνται, ζητεῖ πνεύσεται ἄνεμος. Εὔδιοι ποτέωνται) Εὐδιεῖς φέρωνται

την ὅταν ἀφαιδόωνται τ' ἀνέμων, ἐπὶ πνεύματα ἴσχει· τότε γὰρ ἀντιφέρονται τ' ἀνέμων ἐπέλαυνται. φέρονται δὲ ἀντιφέρονται, ὡς ὅταν οἱ ἰχθύες, ἀφὸς ἄνεμον νηχόμενοι· καταστέλλει γὰρ τὸ κῦμα τὴν φολίδα τῆς λεπίδος, ὃν κεφαλῆς ἐξερχόμενον.

Πολλάκι δ' ἀγελάδες νῆσαν, ἢ εἰν ἀλὶ δῖναι
Αἴθυιαι χερσαῖα ἰναόσιν ἀφερύτοισιν.
Ἠ ἀεφέλη ὄρεος μηκύνει ἐν κορυφῇσιν·
Ἤδη γὰρ πάντοθεν, λευκῆς χήρδον ἀχνύθης,
Σῆρι ἐλθόντ' ἀνέμου, κωφῆς ἀλὸς ὅτε πολλοὶ
Ἀκροι ἐπιπλείωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσω.
Καὶ θήρεος βεβηκαί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
Ἔνθεν ἐπερχομένοιο βαρυσκοπέλου ἀνέμοιο,
Καὶ δὴ νύκλα μέλαινα· ὅτ' ἀστέρες αἴθοπα δύσιν
Ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ἐπολυκαίνονται,
Δῆλα δὴ κείνοις αὐτίκ' ὁδὸν ἐρχομένοιο
Πνεύματος· εἰ δέ κεν ἄλλοι ἐναντίον ἀΐσσωσιν
Ἄλλοις ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
Πνοιῶν ἀνέμων, οἵτ' ἀκριτοί εἰσι μάλιστα·
Ἄκριτα δ' ὑπείκουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.

Πολλάκι δ' ἀγελάδες νῆσαν) Νήσας νῦν ἀγελάδας τὰς ἐν ταῖς νήσοις διατρεφομένας ὀρνίθας λέγει, ὡς ἀνημέρους καὶ ἀγελαίας· τὰς δὲ αἰθυίας, εἰν ἀλὶ δίνας φησὶν, ἐπειδὴ δινοῦσιν αὐτῶν τῇ θαλάσσῃ ἐπιπίπτουσί τινες δῖνες, δυτικὴ κυκλοτερὴς τὸ ὕδατος φορά. ταύτας ἐπὶ τῆς χέρσου φησὶν, ὅταν ἰναόσωσιν τὰ πτερὰ, ἄνεμον σημαίνει· φοβοῦνται γὰρ τὸ θαλάττιον χιμῶνα, τὸν ἐκ τῆς θαλάττης ὑγρότητα λαβόμενον, ἐπὶ τὴν χέρσον παραγινόμενα. Ἠ νεφέλη ὄρεος) Καὶ τὰς ἐπὶ τῶν ὀρῶν δὲ μηκυνομένας νεφέλας, πνεύματος εἶναί φησι σημαντικάς· ἡ γὰρ αὔτη εἰς μῆκος ἐπιδίδασι κατὰ πύκνωσιν τοῦ ἀέρος. ἴσμεν δὲ ὅτι σωρισάμεναι νεφέλαι ἐπὶ τῆς τῶν ὀρῶν ἀκρωρείας, ἀναπαύονται, ἕως ἂν ἄνεμος πνεύσας, ἀθήσῃ αὐτάς· ὅταν οὖν ἄνεμος ἄρξηται διώκειν τὴν

τὸν νεφέλων ἐπικλίνειν αὐτὸν, καὶ τοῦτο τεκμήριον πῆσιν ἀνέμου μηκύνοντος τὸν νεφέλων. Ἤδη καὶ πάππει, λάυκης) Ἡ ἀκαυστὰ καὶ λεμβώδη κινάρα, ἐπειδὰν ἐξανθήσῃ, αὐγέλιτται. γήραμος δὲ αὐτῆς ἐστιν, ὁ καλούμενος πάππος. σὺ δὲ τοῖς παραθαλαττίοις χωρίοις, ἐπειδὰν πνεύσῃ ἄνεμος, οἱ πάπποι κοῦφοι ὄντες καὶ εὔελπτοι ἢ εὐθρυπτοι, ὑπὸ ὀλίγου ἀνέμου ἀναπτερόμενοι, ἐμπίπλουσι τὸ ὕδωρ, καὶ ἐπιπολάζοντες, δῆλοί εἰσιν, ὅτι ἀνέμου καταρχὸς σημεῖόν εἰσιν. ὁ δὲ λόγος, καὶ οἱ πάππποι οἱ πυκνοὶ εἰσι γήραμα ἀκάνθης, σημεῖον ἐχόντος ἀνέμου, κωφῆς καὶ ἀναγθήτου οὔσης τῆς θαλάσσης. τὸ οὖν κωφῆς ἀλὸς, τῆς ἀνεπαγθήτου ἀνέμου. καὶ Ὁμηρος, Κύματι κωφῷ, τῷ ἠρεμοῦντι δηλαδή.

Τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσω) Ὅταν πολλὰ γήραμα τῆς ἀκάνθης εἰς τὸ ἄκρον ὕδωρ τελέωσι, τότε ἄνεμον δηλοῖ, τὰ μὲν καταπίπτοντα εἰς τὸ ὕδωρ, ἄλλα δὲ ὕστερον καταφερόμενα· πάππος δέ ἐστιν, ὑμένι κεκλυφεινώδης. Καὶ ἥρης βροντήν τε) Παρὰ τοῖς αἰγυπτίοις κεκεμυθεν εἰσὶν αἱ ὧραι τοῦ ἔτους, καὶ ὁ χρόνων ἔχει τὰ ὡρισμένα, οἷον ἀράπας καὶ βορέντας. καὶ ἥρης ὁμοίως. σὺ δὲ τοῖς ἄλλοις μέρεσι, ἀκριτά εἰσιν καὶ ἀόριστα, καὶ πολλάκις σὺ χειμῶν ἥρης βορέντι καὶ ἀράπαι γίνονται καὶ ὗες. τοῦτο οὖν φησι, καὶ ἥρης δὲ, ὅταν αἱ βορέντιαι καὶ ἀράπαι γίνονται, καὶ ἢ σὺ νοτίαν, ἢ σὺ βορείαν, ἢ ὅταν δήποτε, ἐκ δύο τῶν μερῶν σκόπει ἐσόμενον ἄνεμον. τὸν βορέντιαν μὲν οὖν φασι καὶ ῥῆξιν γίνεσθαι τῶν νεφῶν· τὸν δὲ ἀράπαν καὶ τοὐναντίον τῶν ῥηγνυμένων νεφῶν. δύο οὖν, φησι, ἥρης χειμερίων, ἄνεμον ἴσον πνεύσαιμον ἐκεῖθεν ὅθεν γίνονται· ἡ γὰρ ἥρης ἔκκαυσις σκληρύνει τὸ παχὺ ἀέρος, τὸν μὲν εἰς ὕδωρ οὐ ποιεῖ μεταβολὴν, λεπτύνασα δὲ αὐτὸ ἀραιοῖ, καὶ εἰς ἄνεμον ἀναλύει.

Καὶ ἀλκυόνες μέλαιναι) Ὁ αἰθὴρ σφόδρα εἰσὶ λάμπρος, ὅθεν καὶ ἀνόμασαν παρὰ τὸ αἴθω. ἔστι δὲ ὅτι καὶ ὑπὸ τῆς ἡλίου ξηρᾶς ἀναθυμιάσεως δέχεται) ἀπὸ τῆς γῆς. καὶ ξηρὸς ἂν καὶ πυρώδης, πυκνέμενος, ἀποπίπτει πυὰς ὡσπερ αἰνιττόμενος, ὃς δὴ ὑπονοοῦσιν ἀστέρων εἶναι ἀναθυμιάσεις· οὐκ εἰσὶ δὲ· ἡ γὰρ οἱ ἀστέρες κινοῦνται, ἀλλὰ σιλβηδόνες πυρώδεις εἰσὶν, ἃς, ὡς ἔφην, ἀποπέμπει αἰθήρ. διὸ καὶ ὀλίγον θραυόμενον, πανόνται, ὡσπερ καὶ οἱ αἰνιττόμενοι. ὥστε καὶ αἰθέρος ἐστὶ πύκνωσις τὸ τοιοῦτον. σὺ νυκτὶ ἔν, φησιν, ὅταν τόπων μεταβάσεις ποιῶνται οἱ ἀστέρες· (τοῦτο γάρ ἐστι τὸ αἴθεσθαι παρφέα.) ὅπισθεν δὲ αὐτῶν οἱ ὀλκοὶ λαμπεσθαι φαίνονται, ὡσεὶ δονῶν δεῖ αὐτοῖς τοῖς ἄστρασι τὸν αὐτὸν ὁδὸν ἐρχομένοις πνεύμασιν. οἷον ἐὰν ἀπὸ τοῦ βορείου ζώδιακοῦ ὁρμὰς ποιῶνται), βορέας πνεύσεται· ἐὰν δὲ τοῦ νοτίου, νότος, κατὰ τὸν τῶν ἄστρων κίνησιν. ῥυμοὶ δὲ ἤτοι ὀλκοὶ, εἰς μῆκος καὶ πυρὸς σκέπασεις. ὑπολουκαίνονται, λουκανθίζονται, τετίσιν οἱ ἀστέρες ἐπιπαίουσι) συριγμὸν ἢ συρμὸν λάμπων. λέγει δὲ τὰς ἀλκυόνας, οὓς ἀστέρας μὴ ἂν εἰσὶ, γένεσις δὲ πυρὸς φερομένου ἐν παρατρίψεως ἀστέρων. σημεῖον δὲ εἰσι πνεύματος, ὡσπερ καὶ ἡ ἀράπη καὶ ἡ βροντὴ γίνεται ἐν τοῖς νεφῶν παρατρίψεως. καὶ ἡ ἐκθλιψις ἐκείνου σημεῖον καὶ πλησίον γίνεται) πνεύματος. καὶ οἱ ἀλκυόντες ἢ ἀστέρες ὅθεν σκιπποῦσιν, ἐκεῖθεν δεῖ τὸ πνεύμα φέρεσθαι· ὠθεῖ γὰρ αὐτοὺς ἐκεῖθεν· ὅθεν καὶ ἡ καὶ τὸν ὁδὸν λαμπόμενοι φαίνεται). ἐξωθυμίρων γὰρ ὑπὸ πνοῆς ἀστέρων, καὶ πιπλόντων ὀλίγον ἐν καὶ αἰθέρος εἰς τὸ ἄνεμος, τὸ πνεῦμα, ὅθεν ἂν μέλλῃ πνεύσειν, κινεῖ ἐκεῖθεν αὐτὸ·

αὐτό· καὶ ἡ πορεία, καθ' ἣν χωρῶσι, λυκηγέτειν, καὶ διὰ φύσιν τῶν ἀστέρων ποιοῦντων. μόριόν τι ἐπ' ὀλίγον, ἄχρις ἂν πάλιν εἰς τὰ αὐτὰ ἥκοντα ἀνελθόντων, ἡ ἔκλαμψις σβεσθῇ, ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος. Εἰ δέ κεν ἄλλοι) Ἐὰν δὲ καὶ ἄλλοι ἀστέρες συναυτίοι τοῖς προειρημένοις ὁρμῶσι, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν, τηλικοῦτοι φυλάσσειν παντοίων ἀνέμων, οἵ τινες ἀναπνέοντες, ἄπικτοι καὶ ἀδιόρυκτοι εἰσι, καὶ πνέοντα ἄμφω ἔνθεν κἀκεῖθεν, ὥστε μὴ διακελεύεσθαι. τὸ δὲ, ἄλλοι ἐξ ἄλλων μερῶν, τουτέστιν ἐκ παντὸς μέρους τοῦ κόσμου, ἀπ' ἀναβολῆς, δύσεως, ἀρκτου καὶ μεσημβρίας. τὸ δὲ ἐπ' ἀνδράσι τεκμήρασθαι, ἤτοι ὅσον ἐπὶ τῇ τῶν ἀνθρώπων νοήσει καὶ σημειώσει, συγκεχυμένης ἀνέμους ἀεὶ προσδοκᾶν. ἢ διὰ οἱ ἄνδρες τεκμήριον δυνηθεῖεν σχεῖν, ἐπὶ τῇ τούτων συγχύσει καὶ ἀκρισίᾳ.

Αὐτὰρ ὅτ' ἐξ εὔρεσφιν καὶ ἐκ νότου ἀσπαίρησιν,
Ἄλλοτε δ' ἐκ ζεφύρεσφιν, καὶ ἄλλοτε πρὸς βορέαο,
Δὴ τότε δὴς πελάγη ἔνι δίδιε ναυτίλος ἀνὴρ,
Μή μιν, τῇ μὲ ἔχῃ πέλαγος, τῇ δ' ἐκ Διὸς ὕδωρ·
Ὑδατι γὰρ τοσσάδε πνεῖ στερπαὶ φορέουσι.

Αὐτὰρ ὅτ' ἐξ εὔρεσφιν) Ἐπειδὰν δὲ ἐκ τοῦ εὔρου ἀσπαίρῃ, καὶ ἐκ τοῦ νότου, πάλιν δὲ ἐκ τοῦ ζεφύρου, καὶ τοῦ βορέου, ὅτε ἐν πελάγει ναύτης τις ὢν, φοβεῖται, μήποτε ὁ καιρὸς αὐτὸν ἐκβάλλῃ, τῷτε ἐκ τοῦ πελάγους ὕδατι, καὶ τῷ ἐκ τοῦ Διός· αἱ γὰρ ἀσπαιραὶ αὗται, ἐπὶ ἐσομένην σφόδρα πολὺ ὑετοῦ γίνεσθαι. φαίνονται γὰρ πανταχόθεν ἀσπαιραὶ, διέξοδον ὑδάτων διδόντες τῇ πυκνότητι τοῦ ἀέρος· καὶ χαμαίελον ἀφ' οὗτο τὸ σημεῖον, μιμήσεως τοῦ συμβάσεως. Μή μιν, τῇ μὲ ἔχῃ πέλαγος) Ἀπορεῖ συνεχῶς φησιν, εἰπὼν, μὴ αὐτὸν τότε ἔχῃ τὸ πέλαγος· εἶεσε γὰρ ἀτελῆ τὸν λόγον. τοῦτο δ' ἐστὶ, μηδὲ τὸ πέλαγος, μηδὲ ὁ ἐξ Διὸς ὄμβρος, ἤγουν ἐξ οὐρανοῦ· εἰπὼν γὰρ, τῇ δ' ἐκ Διὸς, εἶεσε τὸ λοιπόν. σὺ δὲ νόει μὴ πέλαγος, ἀλλ' ἐκ ἐξ παραπλεόντων, ὄμβρον· τὸ γὰρ ἑραυνῶ ἐ πέλαγος, ἀλλ' ὄμβρος πυρέπιται.

Πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα πρόσθεν,
Οἷά μάλισα πόκοισιν ἐοικότα ἰνδάλλονται·
Ἠδὺμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις·
Ἠ καὶ που δὶς ἄλλοα μεμαυῖα ἔχῃ ἀέρι,
Πολλάκι λιμναῖαι τ' Ἑπιαλίαι ὄρνιθες

Απλη-

Ἁπλητοι κλύζοιȣ) σὺν ἐμῇσι ὑδάτεσσιν·
Ἢ λίμνῃσι πελὸν ἢ ἁλὶ χελιδόνιες αἴ κε μολοῦσαι,
Γαστέρι τύπτουσαι αὐτὸν ἐϋλιμένιον ὕδωρ
Ἢ μᾶλλον δηλαὶ γλαυκαί, ὕδρηισιν ὀπηδοί,
Αὐτόθεν ὀξὺ ὕδατος, πατέρες ὑοῦσι γυείων·
Ἢ τευ ὀρθρινὸν ἐρημαίῃ ὀλολυγών·
Ἠπου δὲ λαχέρυζα πρὸς ἠῶ πεφυκυῖα
Χείματος ἀρχομένου χέρσῳ ὑπέκυψε κορώνη·
Ἠπου δὲ ποταμοῖο ἐβάψατο μάλλον ἐπ' ἄκρους
Ὤμους σὺν κεφαλῇ· ἢ ἢ μάλα πᾶσα κολυμβᾷ,
Ἢ πολλὴ τρέφεται πρὸς ὕδωρ παχέα κρώζουσα.

Πολλάκι δ' ἐχμάων ὑετὸν) Πολλάκι δ' ἐχμάων ὑετὸν, φησὶ, πεπαύρισθεν, καὶ πρὶν ἐλθεῖν τὸν ὑετὸν, φαίνεται νέφη ὀσπία πόκοι ἐλάων, ἅτινα λέγει νέφη τὰ μὴ πάνυ ζοφώδη· ἐκεῖνα γὰρ ἐλθόντος ἤδη ὑετοῦ εἰσιν· ἀλλὰ μᾶλλον ὀλίγον λευκά, ἃ μὴ πάνυ συνεστραμμένα, οἷά ἐστι καὶ πρὸ ἔλαι, καὶ δηλονότι πεφιόντος τοῦ κριοῦ, ὡς ἐπὶ ζοφωδέστερον, χωροῦσι, κατ' ὀλίγον τῷ ἀθροιοῦντος πνεύματος αὐξομένῳ· ἢ ὅτι πρὸ ὑγρᾶ νέφη σημεῖά ἐστιν ὑετοῦ, ἃ δὴ πόκοις παρεικασε· χειδὼν γὰρ ἀπόγγοις ἔοικεν ἀερόχοις. Ἢ δίδυμη) Καὶ τὴν διδύμην ἴεραν ἀκριβέστερον ὄμβρων σημεῖον ἡμῖν δίδωσιν· ἀπὸ γὰρ ὀλίγης τῆς αὔρης συγχύσεως μίαν ἴεραν συμβαίνει γίνεσθαι· ὅταν δὲ πολὺ τὸ πύκνωμα ᾖ τῶν νεφῶν, ἀπὸ τῆς πρώτης γνομένης ἴεσθον, ἄλλη γίνεται ὁμοία τῇ πρεσβυτέρᾳ, ὄμβρον πολὺν σημαίνουσα· διδύμη γὰρ ἡ διπλῆ· ὅτω γὰρ αὐτῆς ἐστιν ἡ σύστασις τῆς χροιᾶς. ἡ δὲ ἴρις ἐ μονόχροός ἐστι· σπίσασα γὰρ ἐξ ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος· ἐμπίπλωσα γὰρ ἡ τοῦ ἡλίου ἀκτὶς, ὅταν τῆς παχύτητος διϊκνεῖσθαι μὴ δυναμένη, ἐπὶ πολὺ ἀπολοῦται, καὶ ἀπειτελεῖ τὸν ζώνιον ταύτην· ἤτις ἐκ τῆς τῶν νεφῶν ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος, καὶ τὸ ποικίλον ἔχει. Ἀναξιμένης δὲ τὸν ἴριν φησὶ γλαυκὸν, λιόκαι ἂν ἐπιπίσασιν αὐτὸν ἡλίου αὐγαὶ εἰς παχὺν καὶ πυκνὸν ἀέρα· ὅθεν τὸ μὲν ἐσώτερον αὐτοῦ τοῦ ἡλίου φοινικοῦν φαίνεται, ἀμαχομένου ὑπὸ τῆς ἀκτίνων· τὸ δὲ μέλαν, κρατουμένου ὑπὸ τῆς ὑγρότητος. καὶ νυκτὸς, φησὶ γίνεσθαι τὸν ἴριν ἀπὸ τῆς σελήνης· ἀλλ' ὀλιγάκις, ἀφ' τὸ μὴ πανσέληνον εἶναι ἀφ' ἁπάντων, καὶ ἀσθενέστερον αὐτὸν φῶς ἔχειν τοῦ ἡλίου. Μητρόδωρος δὲ τὸν ἴριν αἰθεολογῶν, φησὶν, ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ συστᾷ νέφος πεπυκνωμένον, τὸν ἡλιακοῦτα ἐμπιπλάσης τὸ αὐγῆς, τὸ νέφος κυκᾶ-

κυαθοῦν. Διὰ τὴν κρᾶσιν γίνεται τὸ δὲ ἀφεψηθὲν ὑγρὸν τῇ αὐγῇ, φοινικοῦν, τὸ δὲ ὂν κάτω, λιθῶδες. τοῦτο ὅταν ἔψωσιν ἡλιακῶν φῶς. Ἀριστοτέλης δὲ, κατασκευὴν ἐποιήσατο ἔμφασιν· πέφυκε γὰρ τοῦτο, ἄστεον τὴν ὄψιν ἀποσπᾶσθαι τοῖς λείοις σώμασι, καὶ ἀνακλωμένῳ καὶ ἀνακλωμένῳ. Εἶναι δὲ τοῦτο τὸ αὐτὸ καὶ τὸ ὕδωρ. ἐπὰν γοῦν αὐλικὸν τοῦ ἡλίου νέφος συσχῇ, σωρεὸς κατὰ ῥανίδα, ἐγγίνεται τὴν ὄψιν κατ' ἐκφυσιν ῥανίδα, καὶ τὴν ἐπὶ τὸ ἥλιον ἀνάκλασιν ἴσχειν. δόξαν δ' ἂν ποιεῖν καὶ συνεχεῖς εἶναι τὰς ἐμφάσεις, κἂν ὁπόση ἔχωσι διάστασιν, διὰ τὸ αὐτὸ ἡμῖν ἐπ' ἐκείνης τόπους διάστημα. Ηκιστα που τὶς ἄλωα) Οἱ λαμπτῆρες ἀστέρων ὡς πῦρ εἰσι, καὶ μορμορυγὰς ἴσχυσι καὶ παρέχουσιν, ὡσαῦτως ἡ σελήνη καὶ ὁ ἥλιος, ἀπὸ τοῦ ἀέρος παχύτητος, καὶ αὐτοὶ ἅλωας ἴσχουσιν αὐτῶν ἴσχυσι. δῆλον οὖν ὅτι ἡ μύλαινα ἅλως ὕδατός ἐστι ποιητικὴ καὶ σημαντική. Πολλάκις λιμναῖαι) Οταν γὰρ αἴσθηται ἐσομένη χειμῶνος τὰ ὄρνεα, τὰ φιλυδρώδη τῶν ὑδάτων, ἐπειδὴ μετ' ὀλίγον ἔσται χειμὼν, καὶ μέλλωσιν ἀφίστασθαι τοῦ ὑδάτων· πρὶν οὖν ἐλθεῖν τὰ χειμῶνα, ἀπλανύουσι τὰ ὑδάτων, ὡς μέλλοντα αὐτῶν ἀφίστασθαι, ἢ ἀποχοινίζεσθαι καὶ ἀποχωρίζεσθαι. τὸ δὲ, συνέμβαινε ὑδατῶδες, ἤγουν ἐγκαθεῖσθαι ἐαυτὰς τοῖς ὑδασιν. Η λίμνῃ ᾧδε δηλοῖ) Εαν δὲ ᾧδε λίμνῃ χαλιδόνες σπουδαὶ ὀρμῶσιν ἐν τῇ ἐπιβαθαι, τῇ γαστρὶ τύπτουσι τὸ λιμναῖον ὕδωρ, ὅτι ἔσται χειμών. εἰλυμένον δὲ ὕδωρ, τὸ ἤδη ἐκ τοῦ ἀνέμου συναφθὲν, καὶ ἤδη ἀρξάμενον κινεῖσθαι. Η μᾶλλον δῆλαι γίνεται, ὑδροῖσιν) Ο ὑδρος ἔτος εἴδος ἐστιν ὄρνεως, ὃς τὰς βατράχους σιτεῖται, ὡς ἔχομεν παρὰ Νικάνδρῳ. Διὰ τοῦτο ὑδροῖς ὄνειαρ ἐστι βατράχων γίνεσθαι· αὐτοὺς γὰρ σιτοῦνται. ὁ δὲ λόγος, ἔσται, φησὶ, πικμήρεια χειμῶνος, ὅταν μᾶλλον παρὰ τὴν συνήθειαν κραυγάζωσιν οἱ βάτραχοι, οἵτινές εἰσιν ὕδροις ὄνειαρ. πρὸ αἰγυπλίοις δὲ καὶ τῷ θέρει μεῖζον κραυγάζουσι, προσδοκίᾳ τοῦ νειλάων ὑδάτων, οἷς φιλοῦσι, καὶ ἀφ' ὧν ζῶσι. σημεῖον δὲ χειμῶνος αἱ φωναὶ τῶν βατράχων, ἐπειδὴ προαισθάνονται μὴ ἀπ' αὐτῶν τὸ ὕδατος μιασμαινομένου εἰς ψυχρότητα. χαίρουσι δὲ πάνυ βοᾶν, ἐν ὁμοῦ εἰσι μὴ καὶ φίλυδροι, μᾶλλον δὲ φιλοῦσι τὸ ὁμοῦριον· γλυκύτερον γάρ ἐστι τὸ πηγαῖον. διὸ δύφραντοι αὐτοὺς, καὶ πλέον ζωογονεῖν ποιεῖ, ὡς καὶ τὰ φυτὰ μᾶλλον ὑπὸ τοῦ ὁμβρινοῦ θάλλουσι· γελῶνοι δὲ λέγουσι), οἱ ἀδιάπλαστοι βάτραχοι, τυτθοὶ τὰ γυνήματα τῶν βατράχων· ἀδιάπλαστα γὰρ πλέον) καὶ ἀποδυόμενοι ἐπὶ τὰ ἄρκυα. Η τρύζει) Η ὀλολυγὼν ὄρνεόν ἐστι, κρᾶτα τὰ τρυγόνα, τῇ ἐρήμῳ φιλοῦσι. ἐν ἐρήμοις δέ εἰσιν ὕσαι, καὶ ὑπὸ ψυχροῖς τόποις, ἀνάπλαμβάνεται τοῦ κρύους, καὶ τρύζει τὰ ᾠοτόκια. οἱ δὲ φασιν, ὅτι καὶ ὀλολυγὼν ὁμοίως ἐπὶ τοῖς ὕδασι χαίρουσα, κρώζει ἡμερείᾳ, ζῷον ὕσαι λιμναῖον καὶ φιλόψυχρον. ἔστι οὖν ὑπόμηκες, ἀδιάῤῥηκτον, ὁμοιον γῆς σπέρμα, πολὺ μέντοι ἐχνότερον. Αριστοτέλης δὲ ταῦτα οὐκ οἶδεν, ἀλλὰ τοῦ ἀῤῥένος βατράχου φωνὴ, σημεῖον εἶναί φησι τοῖς συνουσίας ὀργῶντος ἐπὶ τὴν θήλειαν. Ηπου καὶ λακέρυζα) Υπέκυψεν, ἀντὶ τοῦ ὑπῆλθε. λέγει δὲ τὴν χερσαίαν κορώνην. εἰσὶ γὰρ καὶ θαλάττιαι καθ' Ομηρον, Ταινύλλωσοί τε κορῶναι. ὁ δὲ νοῦς, ἡ κορώνη ἡ χερσαία ἐν αἰγιαλοῖς φοιτᾷ, καὶ παρὰ τὴν θαλάσσαν ὤφθη, ἀρχομένου χειμῶνος· φιλεῖ γὰρ τοῖς ὑδασιν.

δυσιν. Η που καὶ πεπαμένοι) Καὶ ἡ κόραξ. ᾧ ἡ αὐτῇ ψύλλες εἰσὶ· σφόδρα κνησίζηται τὸ σῶμα ἔχοντες, ζητοῦσι ὑγρὸν οὖσι σφόδρα φιλοῦσαν. ὅταν οὖν ἀρχὴν χειμῶνος ἐπαίσθωνται; ἐν ὑγρᾷ γὰρ αὐτῶν τὸ περιέχον τὸ σῶμα, τότε ἐπινήχονται τοῖς ὕδασι, σφόδρα ἡδόμενοι χαίρουσιν αὐτοῖς· ἄνδρα γὰρ χειμῶνος, ἢ ποσοῦτον ὕδωρ ἢ ποτάμιον ἢ θαλάσσιον αὐτοῖς ὀνίησιν, εἰ μὴ ἐν ἐκείνῳ ὑπάρχει. ὁ δὲ λόγος, πολλάκις καὶ ἐν ποταμῷ ἀπὸ καφαλῆς ἕως ἄκρων τῶν ὀνύχων ἐσάπησιν αὐτὴν, ἕως ὅτε καὶ πῖσσα κήρη. Η πολλὴ τρέφει) Η παλαιὰς ἀὰν ἀναστρέφηται ἐν ποτιμίοις ὕδασιν ἢ θαλασσίοις, παχείας τῇ φωνῇ κρώζουσι. τὸ δὲ τοιαύτην ἀφίενται φωνὴν, δηλοῖ τοῦτο ὅτι πάντες τῷ σώματι ἐν διαθέσεις κρατυνόμενοι, ἐπὶ τοῖς γινομένοις καθ' ἡδονὴν ὕδασιν. Αλλως. Οὗτοι τὰ ὀρνίθων βρέχουσιν ἑαυτοὺς τῷ ὕδατι, ὡς θερμαίνουσιν ὑετούς, ὑπομιμνήσκων) τῆς πόλησις ἀφὰ τὰ μέλλοντα ἀμβρον, καθάπερ καὶ ἀπεργάζεται τῶν ὑπολυπίων ἐν τοῖς ἀφὰ βάσεις τὰ ποτάμια. λιμναίαν μὲν οὖν ὄρνιθες, νῆσσαν, χῆνες, ἐρωδιοί. εὐαλίαν δὲ κάθυμαν γυῆνοι δὲ, οἱ ἀλλοδάπλασοι βάτραχοι. κεκράγασι δὲ οἱ βάτραχοι, χαίροντες τῷ ὑγρῷ. πεῦ δὲ ὀλολυγόνας φασὶν εἶναι ζῶον, λιμναῖον, ἀπλοῦν, ἰχνύν βαπὶ δὲ ἑαυτὴν ἡ κορώνη, ψύχος ζητοῦσα, ἤτοι ψυχοιδίαν τὸν ἔξω ἀέρος, καὶ εἰς τὸ βάθος περιλαμβανόμενος τῆς θερμότητος ζῶις ζώοις, ἢ ἀφὰ τὸν ἔξω θερμότητα· ἐν γὰρ ἐπιπολὺ σφόδρα τὸ ὑετὸν θερμότερον αὐτὸς ἑαυτοῦ ὁ σφόδρα ἀὴρ, συνδιαλυόμενον τῷ πυράδους ἐκ τῆς ψυχρᾶς νεφέλης καὶ εἰς ὕδωρ μεταβαλλόσης, καὶ εἰς τὸ σφόδρα χωροῦντος τόπου. ἡ πολλὰ χαίρει τε καὶ σπαρταῖ, ἐπειδὴ φιλεῖ τὰ ψυχρά, ἀφὰ τὸ φλέγεσθαι ἐστιν ἡ κορώνη φυσικῶς θερμή.

Καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐσσίοιο,
Οὐρεσιν εἰστηκότες, ἀπ' αἰθέρος ὠσφρήσαντο.
Καὶ κοίλης μύρμηκες ὀχῆς ὀξὺ ὠέα πάντα
Θᾶσσον ἀνιχνεύσαντο· καὶ ἀθρόον ὤφθεν ἴουλοι
Τείχη ἀνέρποντες· καὶ πλαδόμενοι σκώληκες
Κῆνοι, τοὺς καλέουσι μυλαίτης ἔντερα χαίνης.
Καὶ τηθαὶ ὄρνιθες, ταὶ ἀλέκτορες ὀξὲ γόῳντο,
Εὖ ἐφθεγγάσαντο καὶ ἔκρωξάν μάλα φωνῇ,
Οἷόν τε σαλάον φοφέῃ ἐπὶ ὕδατι ὕδωρ.

Καὶ βόες ἤδη τοι) Οἱ βόες ἠρεμαιοτέρους καὶ διαχαίσκοντας ἔχοντες τοὺς μυκτῆρας, αἰσθητικώτεροι ἐξαιρέτως δὲ οἱ βοῦς ἀφὰ τὸν τῶν μυκ-

